# ΑΚΟΛΟΥΘΙΑ

# ΤΗΣ ΖΩΟΔΟΧΟΥ ΠΗΓΗΣ

ΚΑΙ Η ΚΑΤΑ ΤΟ

# ΓΕΝΕΘΛΙΟΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ,

ΑΙΣ ΠΡΟΣΕΤΕΘΗΣΑΝ ΚΑΙ ΙΔΙΟΜΕΛΑ
ΝΙΚΗΦΟΡΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ ΤΟΥ ΧΙΟΥ,

ΚΑΙ ΣΥΝΤΟΜΟΣ ΕΚΘΕΣΙΣ
ΠΕΡΙ ΤΗΣ ΕΝ ΑΡΜΟΛΙΟΙΣ
ΙΕΡΑΣ ΜΟΝΗΣ ΤΟΥ ΒΡΕΤΟΥ.

---

Ἐξεδόθησαν δαπάνῃ
ΤΟΥ ΠΑΝΟΣΙΩΤΑΤΟΥ ΚΑΘΗΓΟΥΜΕΝΟΥ ΤΟΥ ΒΡΕΤΟΥ
Κ. ΜΕΘΟΔΙΟΥ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΧΙΩι,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ Κ. Μ. ΠΡΟΚΙΔΟΥ.

1862.

*Τῇ ἐγκρίσει τῆς Ἱερᾶς Μητροπόλεως.*

# ΣΥΝΤΟΜΟΣ ΕΚΘΕΣΙΣ

## ΠΕΡΙ ΤΗΣ ΕΝ ΑΡΜΟΛΙΟΙΣ

# ΙΕΡΑΣ ΜΟΝΗΣ ΤΟΥ ΒΡΕΤΟΥ.

Πρὸς Βορρᾶν τῆς Πολίχνης Ἁρμόλια τῶν Μαστιχοχωρίων, ἓν τέταρτον τῆς ὥρας μακράν, ἐπὶ ἀνωφεροῦς θέσεως, κεῖται τὸ Μοναστήριον Βρετόν, ἔχον Ναὸν ἐπ' ὀνόματι ΤΗΣ ΖΩΟΔΟΧΟΥ ΠΗΓΗΣ, περικαλλῆ καὶ εὐμεγέθη, μετὰ ἀειναοῦς χρήνης, διαυγεστάτου καὶ θαυμασίου ὕδατος, ἀπὸ τοῦ Ἱεροῦ τοῦ Ναοῦ ἀναπηγάζοντος, καὶ κατὰ τὸ μῆκος αὐτοῦ διερχομένου.

Μετὰ σεβασμοῦ καὶ θρησκευτικῆς εὐλαβείας κλίνοντες γόνυ εἰς τοὺς ἄνδρας, οἵτινες, κατὰ τὴν πρόσκαιρον ταύτην ζωήν, διὰ τῆς σεβασμίου καὶ ἐναρέτου πολιτείας των, γίνονται μιμηταὶ ἘΚΕΙΝΟΥ, ὅστις ἔπαθε καὶ ἐσταυρώθη, ἀλλὰ καὶ ἀνέστη, διὰ τὴν ἀπολύτρωσιν τοῦ ἀνθρωπίνου Γένους, δίδομεν εἰς φῶς, ἐν συντόμῳ, τὰ ἀφορῶντα τὴν σύστασιν τοῦ Μοναστηρίου Βρετοῦ· καθότι τοῦτο ἐγένετο, ὅπως, ἄνδρες διὰ τῆς ἀρετῆς των καὶ τῆς Ἰσαγγέλου Πολιτείας των, Σεβάσμιοι καὶ Ἱεροί, ἐγκατασταθέντες ἐν τῇ κεντρικωτάτῃ ταύτῃ θέσει τῶν Μαστιχοχωρίων, κατασταθῶσι ποιμένες καὶ διδάσκαλοι ἐπὶ τὴν ὁδὸν τῆς σωτηρίας.

Καθ' ἣν ἐποχὴν βάσκανος δαίμων διετάραττε τὰ τοῦ Ἁγίου Ὄρους σεβάσμια Ἡσυχαστήρια, ὡς ἐκ τοῦ ζητήματος τῶν κολλύβων, ἐκεῖθεν ἀπεσύρθησαν καὶ δύο Ὁσιώτατοι Ἱερομόναχοι καὶ Πνευματικοί, μεθ' ἑνὸς ὑποτακτικοῦ των, ἰδιώτου, ἐγκαταλιπόντες τὴν παρὰ τῷ Προδρόμῳ τῶν Ἰβήρων Σκήτην των. Ὁ πολιόθριξ Ἀβέρκιος, ὁ νεώτερος τούτου Γερβάσιος, καὶ ὁ μετ' αὐτῶν Σεραπίων.

Ἡ Σεβάσμιος αὕτη Τριάς, θείᾳ βουλήσει, ἔφθασεν εἰς τὴν Νῆσον Χίον, καὶ διευθύνθη εἰς τὸν ἡσυχάζοντα, ἀπὸ διετίαν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

περίπου, Μητροπολίτην Κορίνθου, κατὰ τὸν εἰς Βροντάδον Ἅγιον Πέτρον, Μακάριον, ἐλθόντα καὶ τοῦτον ἐκεῖσε ἐκ τοῦ Ἁγίου Ὄρους, ὅπου συνῴκει, συνέζη, καὶ συνεπολιτεύετο ὑπὸ τὸν Ἀβέρκιον ἐν τῇ αὐτῇ Σκήτῃ.

Ἐκεῖθεν, ἀποχαιρετήσαντες τὸν Ἅγιον Μακάριον, ἔλαβον ἀποστολικῶς τὸν δρόμον των, καὶ περιώδευον τὴν Νῆσον, ζητοῦντες τόπον πρὸς ἡσυχίαν των, καὶ συγχρόνως κατάλληλον, ὅπως ὦσιν ἐπωφελεῖς λόγῳ τε καὶ ἔργῳ εἰς τοὺς Χριστιανούς. Ἔφθασαν εἰς Μαγιάτικον, θέσιν τερπνὴν καὶ εὐχάριστον, πρὸς δυσμὰς τῆς Πολίχνης Ἁρμόλια, ἡμίσειαν ὥραν ἀπέχουσαν. Ἐνταῦθα ὑπάρχει ἀρχαῖος Ναὸς «Ὁ Π ρ ο φ ή τ η ς Ἠ λ ί α ς» καὶ εὐμεγέθεις γηραιαὶ Τερεβινθίναι. Ἅπαντα ταῦτα, καθὼς καὶ γαῖαι καὶ ὄρη, ὄντα κτήματα τοῦ Ναοῦ τούτου, τοῖς προσεφέρθησαν ἀπὸ τοὺς ἔχοντας ταῦτα ὑπὸ τὴν δικαιοδοσίαν των κατοίκους τινὰς τῆς Πολίχνης Ἁρμόλια, τῶν ὁποίων ἀναμφιβόλως οἱ πρόγονοι κατέφυγον ἐκεῖθεν ἐν τῇ Πολίχνῃ ταύτῃ, διασωθέντες βεβαίως ἀπὸ λαοφθόρον νόσον. Ἀλλ' οἱ φιλέρημοι καὶ φιλήσυχοι ἄνδρες δὲν ἐνέκριναν νὰ ἐγκατασταθῶσιν ἐνταῦθα, ἰδόντες, ὅτι ἐκεῖθεν ὑπῆρχεν ἡ διάβασις εἰς διάφορα χωρία, τὸ ὁποῖον βεβαίως διετάραττε τὴν ἡσυχαστικὴν καὶ μονήρη αὐτῶν ζωήν.

Διευθύνθησαν εἰς τὴν Πολίχνην Ἁρμόλια, καὶ ἐκεῖθεν προσέβλεψαν πρὸς βορρᾶν, ἐπὶ ἀνωφεροῦς θέσεως, εἰς ἐξωκκλῆσι, ὅπου καὶ ὑπῆγον. Ὑπῆρχε δὲ ἐκεῖ ἐξ ἀμνημονεύτων χρόνων Ναΐδιον «ἡ Π α ν α γ ί α» ἰδιόκτητον οἰκογενείας τῶν Ἁρμολίων (*). Ἅμα δ' ἐπλησίασαν, ἀνεβόησαν μετ' ἀνεκλαλήτου χαρᾶς «Ἰδοὺ τὸ Βρετόν»· ἤτοι, εὕρομεν, ὅπερ ζητοῦμεν. Παρὰ τῷ Ναῷ ὑπῆρχε καὶ μικρόν τι δωμάτιον (κελλεῖον), ὅπου μοναχός τις Λεόντιος ἡσύχαζε, συγγενὴς τῶν κτητόρων τοῦ Ναοῦ. Ὁ Λεόντιος μετὰ σεβασμοῦ καὶ εὐχαριστήσεως ὑπεδέχθη τοὺς Σεβαστοὺς ξένους του, καὶ μετ' ὀλίγον τοῖς ἐγκατέλιπε τὸ ἡσυχαστήριόν του, καὶ ἀνεχώρησεν εἰς Ἅγιον Ὄρος.

(*) Πολλὰ Ναΐδια, ἐξωκκλήσια καλούμενα, ὑπάρχουν καὶ ἤδη κατὰ τὴν περιφέρειαν, καὶ τῆς Πολίχνης Ἁρμόλια, καὶ ὅλων τῶν ἄλλων Μαστιχοχωρίων. Τοιαῦτα ἐξωκκλήσια ἡ Πολίχνη «τὸ Πυργὶ» ἔχει ὑπὲρ τὰ 80· ἅπαντα λειτουργούμενα, καὶ καλῶς διατηρούμενα ἀπὸ τοὺς ἰδιοκτήτας των. Ἡ δὲ Πολίχνη Ἁρμόλια ἀριθμεῖ ὅλα δώδεκα ἐν καλῇ καταστάσει· ἐν αὐτοῖς εἶναι καὶ τὸ τῶν Προγόνων ἡμῶν ἡμέτερον κομψὸν Ναΐδιον «Ὁ Ἅγιος Νικήτας», πρὸς δυσμὰς τῆς Πολίχνης· ἡμίσειαν σχεδὸν ὥραν μακράν, ἐπὶ ὀροπεδίου μέν, ἀλλὰ καὶ ὑπὸ τὴν ὑπώρειαν παμμεγέθους βράχου, ὑπὸ τὸν ὁποῖον ὑπάρχει σπήλαιον ἐν ἐκτάσει, ἔχον τὴν ἔξοδόν του ἐν τῷ Ναῷ. Ἐν τῷ σπηλαίῳ τούτῳ λέγεται, ὅτι οἱ πρόγονοι ἡμῶν Κυριακίδαι εὗρον τὴν τιμίαν εἰκόνα τοῦ Ἁγίου Νικήτα, ἐμφανισθέντος κατ' ὄναρ εἰς τὸν Πρόπαππον ἡμῶν, καὶ διατάττοντος, ὅπως παρὰ τῷ σπηλαίῳ γενῇ καὶ ὁ Ναὸς τοῦ Ἁγίου· τὸν Ναὸν τοῦτον ἐπεσκεύασα κατὰ τὸν 8βριον τοῦ 1856, καὶ κατὰ τὰς 11 9βρίου τοῦ αὐτοῦ ἔτους, τῇ ἐγκρίσει καὶ διαταγῇ τοῦ πρώην Ἁγίου Χίου Νεοφύτου, ἐγκαινίασεν ὁ Καθηγούμενος τοῦ Βρετοῦ Παπᾶ-Μεθόδιος· καθότι καὶ τὸ Ναΐδιον τοῦτο ὑπέστη τὴν τῆς ὅλης πατρίδος συμφοράν.



Ὁ Ἀβέρκιος καὶ Γερβάσιος, καθὼς καὶ ὁ ὑποτακτικός των Σεραπίων, εὑρόντες ἐνταῦθα τὴν ἡσυχίαν των, ἐδοξολόγουν τὸν Ὕψιστον ἐν τῷ Ναῷ «ἡ Παναγία», καὶ διὰ τῆς ἐναρέτου καὶ σεβασμίου αὐτῶν πολιτείας, καὶ ἕτεροι ἀδελφοὶ παρ' αὐτῷ προσῆλθον, καὶ ἐγκατεστάθησαν, καὶ τὰ ἐλέη τῶν Χριστιανῶν προθύμως ἐκεῖσε ἐπροσφέροντο, καὶ ἐπομένως καὶ κελλεῖα ἐκτίσθησαν κατὰ τὰς ἀνάγκας καὶ τὸν ἀριθμὸν τῶν ἀποκατασταθέντων ἀδελφῶν, καὶ ἀποκατέστη Σεβαστὸν Μοναστήριον, ὑπὸ τὴν ἐπωνυμίαν «Τ ὸ Β ρ ε τ ό ν», ἐν τῷ ὁποίῳ ἅπαντες οἱ ἐν αὐτῷ ἀδελφοὶ ἔζων κοινοβιωτικῶς, χειραγωγούμενοι καὶ πατρικῶς ποιμενόμενοι ἀπὸ τὸν Σεβάσμιον Γέροντα Ἀβέρκιον.

Ὁ Ἀβέρκιος ἔφθασεν εἰς ἔσχατον γῆρας, καὶ εὑρηται παρὰ τῶν ἀδελφῶν ἐν τῷ δωματίῳ του, φορῶν καὶ τὴν Ἱερατικήν του στολήν, ἀναπαυόμενος ἐν Κυρίῳ, περὶ τὴν μεσημβρίαν τῆς ἡμέρας, καθ' ἣν ὁ ἴδιος ἐλειτούργησεν, ὡμίλησεν ἐπ' ἐκκλησίας, συνιστῶν τοῖς ἀδελφοῖς νὰ διαμένουν ἐν ὑπομονῇ καὶ ἀγάπῃ ὑπὸ τὸν ἄξιον τούτου διάδοχον Γερβάσιον, ηὐχήθη ἅπαντας, καὶ δεηθεὶς τοῦ Ὑψίστου καὶ ὑπὲρ τῆς μακαρίας ψυχῆς του, μετέβη εἰς τὸ δωμάτιόν του, ὅπου διέμενεν ἐν προσευχῇ, καὶ ἐπερίμενεν ἐν ἀγαλλιάσει τὴν ἐν Κυρίῳ ἀνάπαυσίν του. (*)

(*) Τοῦ μακαρίου τούτου ἀνδρὸς καὶ ἡ πατρὶς μᾶς εἶναι ἄγνωστος, καὶ ἀκριβῶς ἡ ἐποχὴ τῆς εἰς Βρετὸν ἀφίξεώς του, καθὼς καὶ τῆς ἐν Κυρίῳ ἀναπαύσεώς του· παρ' οὐδενὸς ἠδυνήθημεν νὰ βεβαιωθῶμεν περὶ αὐτοῦ.

*Γ. Ν. Κυριακίδης.*

Ἀνέλαβεν ὁ Γερβάσιος τὴν πατρικὴν διεύθυνσιν τῶν ἀδελφῶν τοῦ Βρετοῦ· καί, καθὸ ἄξιος σύντροφος καὶ μιμητὴς τοῦ Ἀβερκίου, ἐπηύξησε τὴν ὑπόληψιν καὶ τὸ σέβας τοῦ Μοναστηρίου τούτου, καὶ οἱ χριστιανοὶ προστρέχοντες, προσέφερον τὸν ὀβολόν των, ὅπως τὸ Ναΐδιον «ἡ Παναγία», ἀνακαινισθῇ εἰς Ναὸν εὐμεγέθη, καὶ ἑαυτοὺς πρὸς καλλιέργειαν καὶ καλλωπισμὸν τῶν πέριξ ἀνωμάλων καὶ ἀγρίων γαιῶν, αἵτινες ἐν ὀλίγῳ χρόνῳ κατεστάθησαν εὐχάριστοι, καὶ ἐστολισμέναι ἀπὸ ἐλαίας, καὶ ἄλλα ἄλλου εἴδους δένδρα. Ἀλλ' ἐν ᾧ τὰ πάντα ἦσαν ἕτοιμα πρὸς ἔναρξιν τῆς ἀνακαινίσεως καὶ ἀποκαταστάσεως τοῦ Ναϊδίου εἰς εὐμεγέθη Ναόν, ἄλλῳ ὥρισται ἡ ἔναρξις τοῦ εὐσεβοῦς τούτου ἔργου, καὶ θείᾳ βουλήσει, ἀνεπαύθη ἐν Κυρίῳ καὶ ὁ Σεβάσμιος οὗτος Γερβάσιος, πλήρης ἡμερῶν· Πατρὶς δὲ τούτου ἦν ἡ περιώνυμος Τρίπολις τῆς Πελοποννήσου.

Τὸν Γερβάσιον διεδέχθη ὁ Καπήτων, ἰδιώτης, ἐκ τῆς Πολίχνης Καλαμωτῆς, ἀνὴρ ἐνάρετος, καὶ καθ' ὅλα μιμητὴς τῶν προκατόχων του· Οὗτος ἀνέλαβε μετὰ πάσης τῆς δραστηριότητος τὴν ἔναρξιν τῆς οἰκοδομῆς τοῦ Ναοῦ. Ὅθεν ἐπικαλεσάμενος καὶ τὴν συνδρομὴν καὶ τὰ ἐλέη τῶν κατοίκων τῆς Πολίχνης Ἀρμόλια, καθὼς καὶ παντὸς εὐλαβοῦς χριστιανοῦ, καθότι ἅπαντες μετὰ πάσης προθυμίας, ἀόκνου ζήλου, καὶ θρησκευτικῆς ἀφοσιώσεως ἐνησχολοῦντο, ἀπεπεράτωσε μετὰ τῆς συνοδίας του, σὺν Θεῷ, ἐκ βάθρων τὸν ἤδη περικαλλῆ καὶ εὐμεγέθη Ναόν, ἐφ' ᾧ τόπῳ ἦν τὸ Ναΐδιον «ἡ Παναγία», κατὰ τὴν 15 Ἀπριλίου 1815, ἐπ' ὀνόματι «Τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου Μαρίας» τὴν δὲ 8 7βρίου τοῦ αὐτοῦ ἔτους, τὴν ἡμέραν τοῦ Γενεθλίου ἔκαμε τὰ ἐγκαίνια τοῦ Ναοῦ τούτου ὁ τότε Μητροπολίτης Χίου ἀοίδιμος Διονύσιος. Οὗτος κατανυγεὶς ἀπὸ τὴν σεβάσμιον ταύτην κατοικίαν τῶν ἐναρέτων καὶ σεβασμίων ἀνδρῶν, ἐδωρήσατο καὶ τὰ κανονικά του δικαιώματα διὰ τὰ ἐγκαίνια, τοῖς προσέφερε δὲ καὶ ἄλλα τόσα, παρακαλέσας αὐτοὺς νὰ κανονισθῶσιν ἐτησίως γινόμεναι μετ' ἀγρυπνιῶν καὶ μετ' ἁπάσης τῆς ἐκκλησιαστικῆς τάξεως καὶ μεγαλοπρεπείας δύο ἑορταὶ τῆς Θεοτόκου· Ἡ μὲν ἐπ' ὀνόματι τοῦ Ναοῦ «ἡ Ζωοδόχος Πηγή» κατὰ τὴν Παρασκευὴν τῆς Διακαινησίμου, ἡ δὲ διὰ τὰ ἐγκαίνια τοῦ Ναοῦ «κατὰ τὸ Γενέθλιον τῆς Θεοτόκου»,



καὶ ἀπερχόμενος ἐκεῖθεν, ηὔχετο, Νὰ ἡσύχαζε μετὰ τῶν ἐναρέτων καὶ εὐσεβῶν ἀδελφῶν, ὑπὸ τὴν πατρικὴν καὶ σεβάσμιον ἡγουμενίαν τοῦ Ὁσιωτάτου Καπήτωνος, ἐν τῷ σεβαστῷ καὶ κατανυκτικῷ τούτῳ Μοναστηρίῳ Βρετῷ.

Ὁ Ὁσιώτατος Καπήτων μετὰ τῶν τῆς συνοδίας του ἀδελφῶν ἐξηκολούθουν ἐτησίως ἑορτάζοντες τὰς κανονισθείσας δύο ἑορτὰς μετὰ ἀγρυπνιῶν, ὅτε καὶ ἀπὸ ὅλας τὰς Πολίχνας τῶν Μαστιχοχωρίων, καὶ γενικῶς ἀπὸ ὅλην τὴν Χίον, ἐκεῖσε προσέτρεχον εὐλαβεῖς προσκυνηταὶ μετὰ σεβασμοῦ καὶ θρησκευτικῆς εὐλαβείας, καὶ ἀπήρχοντο μετὰ ψυχικῆς ἀγαλλιάσεως. Διετηροῦντο ἀκριβῶς οἱ ὅροι τῆς μοναχικῆς καὶ ἐναρέτου ζωῆς. Ἔζων κοινοβιωτικῶς ὑπὸ τὴν πατρικὴν ἡγουμενίαν τοῦ Καπήτωνος. Εἰς οὐδένα τῶν ἀδελφῶν ἐσυγχωρεῖτο ἡ ἀπὸ τὸ Βρετὸν ἀπομάκρυνσίς του. Ἐν τῷ Ναῷ μόνον τὸ ἄρρεν γένος ἦτο παραδεκτόν, ἀπηγορεύετο δὲ αὐστηρῶς ἡ εἴσοδος εἰς τὰς γυναῖκας.

Κατὰ δὲ τὴν γενικὴν τῆς πατρίδος συμφορὰν καὶ τὸ Βρετὸν κατεστράφη, καὶ οἱ ὁσιώτατοι ἐν αὐτῷ ἀδελφοὶ ὑπέστησαν τὸν διὰ πυρὸς καὶ μαχαίρας μαρτυρικὸν θάνατον. Ἦσαν δὲ οὗτοι· ὁ Καθηγούμενος Καπήτων, καὶ ὁ Σεραπίων ἀπὸ τὴν Καλαμωτήν· ὁ Καρύων ἀπὸ Νένητα· ὁ Κύριλλος, ὁ Νεῖλος καὶ ὁ Σερίδος ἀπὸ Κινήν· ὁ Μεθόδιος ἀπὸ Βουνόν· ὁ Σαμουὴλ ἀπὸ τὴν πόλιν Χίον· ὁ Ἄνθιμος ἀπὸ Κρήνην· ὁ Νῖκος ἀπὸ Ῥούμελην· ὁ Σεραπίων καὶ ὁ Γερμανὸς ἀπὸ Πελοπόννησον.

Μόνος ἐπέζησεν ὁ ἀπὸ Βουνὸν Μεθόδιος, νέος τότε τὴν ἡλικίαν, καταφυγὼν εἰς Ἅγιον Ὄρος· Οὗτος συμπολιτευσάμενος μετὰ ἀνδρῶν ἐναρέτων καὶ σεβασμίων, ἔλαβεν ἐκεῖ τὴν Ἱερωσύνην, ὅπου καὶ διέμεινεν ἓξ ὅλα ἔτη. Κατὰ δὲ τὸ 1828 ἐπανῆλθεν εἰς τὸ Βρετόν, τὸ ὁποῖον εὗρεν ἔρημον καὶ ὅλως κατεστραμμένον, φωλεὰν τῶν ἀγρίων ζώων, ἀντὶ τῶν μακαρίων ἐκείνων ἀνδρῶν.

Ὁ ῥηθεὶς Μεθόδιος ἀπὸ τῆς ἐποχῆς ἐκείνης, ἐγκατασταθεὶς εἰς τὸ Μοναστήριον Βρετόν, μεθ' ἑαυτοῦ ἔχων καὶ τὸν Παγκράτιον ἀπὸ Μέσα-Διδύμαν, σχεδὸν ἔκτοτε ἐλθόντα ἐκεῖσε, καὶ τὸν ἀπὸ Ἅγιον Γεώργιον πρὸ ἓξ ἐτῶν ἐκεῖσε ἐλθόντα Γερβάσιον, ἀμφοτέρους ἰδιώτας, ἐργατικοὺς καὶ ἐναρέτους, προσείλκυσε τὸ σέβας καὶ τὴν ἀγάπην τῶν χριστιανῶν, ὡς πιστὸς ὀπαδὸς καὶ μιμητὴς τῶν μακαρίων προκατόχων του.

ΚΟΡΑΗΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

Προσετέθη δὲ ἤδη καὶ τέταρτος ἐν τῷ Βρετῷ, ὁ ἀπὸ Κινὴν Ἱερομόναχος καὶ Πνευματικὸς Ὁσιώτατος Χατσῆ-Νεόφυτος, σεβάσμιος καὶ ἐνάρετος, προσφιλὴς καὶ ἀγαπητὸς τῷ ἀοιδίμῳ Ἁγίῳ Σύρου καὶ Τήνου Δανιὴλ τῷ Χίῳ, μετὰ τοῦ ὁποίου ὑπὲρ τὰ 30 ἔτη συνέζησε, καὶ Ἱερεὺς παρ' αὐτοῦ ἐχειροτονήθη. Ὁ ῥηθεὶς Χ. Νεόφυτος ἐχρημάτισε καὶ ἄλλοτε ἰδιώτης εἰς Βρετὸν παρὰ τῷ Παπᾶ Μεθοδίῳ, ὅθεν ἀνεχώρησεν Ἱεροδιάκονος.

Ὁ κὺρ Μεθόδιος εἶναι ὀγδοηκοντούτης περίπου· μικροῦ ἀναστήματος· εἰσέτι δραστήριος καὶ ἐνεργητικός· ἐνάρετος Ἱερεὺς καὶ σεβάσμιος Πνευματικός· ἡγουμενεύει ἤδη τοσαῦτα ἔτη ὡς φιλόστοργος πατὴρ, μιμητὴς ὅλων τῶν μακαρίων προκατόχων του.

Οἱ τέσσαρες δὲ ὁμοῦ, ἀκολουθοῦντες καὶ μιμούμενοι τοὺς προκατόχους των, καθίστανται ἄξιοι σεβασμοῦ καὶ ὑπολήψεως παρὰ τοῖς Χριστιανοῖς, καὶ τὸ Μοναστήριον Βρετοῦ ἐπανέρχεται εἰς τὴν προτέραν του ἀκμαίαν καὶ σεβαστὴν κατάστασιν· καὶ αἱ δύο ἑορταὶ μετὰ ἀγρυπνιῶν, ἤτοι, ἡ τῆς Ζωοδόχου πηγῆς πρὸς ἐπέτειον ἑορτὴν τοῦ ὀνόματος τοῦ Ναοῦ, καὶ τὴν 8 7βρίου ἡ κατὰ τὸ Γενέθλιον τῆς Θεοτόκου, πρὸς ἀνάμνησιν ἐτησίως τῶν ἐγκαινίων τοῦ Ναοῦ, γίνονται μεθ' ὅλης τῆς ἐκκλησιαστικῆς τάξεως καὶ μεγαλοπρεπείας, ὅτε καὶ συῤῥοὴ εὐλαβῶν χριστιανῶν ἐκεῖσε οὐκ ὀλίγη γίνεται.

Τὰς δύο δὲ ταύτας ἀκολουθίας τῶν ἐτησίων ἑορτῶν καὶ Πανηγύρεων τοῦ Μοναστηρίου Βρετοῦ, αἷς προστίθενται καὶ ἰδιόμελά τινα ἀνέκδοτα, συνταχθέντα παρὰ τοῦ ἀοιδίμου Νικηφόρου Ἱερομονάχου τοῦ Χίου, καθὼς καὶ τὴν Σύντομον Ἔκθεσιν ταύτην τῆς Ἱερᾶς μονῆς τοῦ Βρετοῦ, δίδομεν εἰς Τύπον, τῇ ἐγκρίσει τοῦ Πανιερωτάτου Ἁγίου Χίου, καὶ δαπάνῃ τοῦ Πανοσιωτάτου Καθηγουμένου τοῦ Μοναστηρίου Βρετοῦ Κ. Μεθοδίου, πρὸς εὐχερῆ χρῆσιν παρὰ τοῖς χριστιανοῖς κατὰ τὰς ἑορτὰς ταύτας τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, ἧς ἡ χάρις καὶ προστασία εἴη μετὰ πάντων ἡμῶν.

Ἐν Ἀρμολίοις τῆς Χίου, κατὰ Ἰούλιον τοῦ 1862.

*Γ. Ν. Κυριακίδης.*

## ΤΗ ΠΕΜΠΤΗ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ
## ΕΣΠΕΡΑΣ.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι΄. καὶ ψάλλομεν Στιχηρὰ Ἀναστάσιμα τῆς Ὀκτωήχου ς΄. Ἦχος πλ. β΄.

Νίκην ἔχων Χριστὲ, τὴν κατὰ τοῦ ᾅδου, ἐν τῷ Σταυρῷ ἀνῆλθες· ἵνα τοὺς ἐν σκότει θανάτου καθημένους, συναναστήσῃς σεαυτῷ, ὁ ἐν νεκροῖς ἐλεύθερος. Ὁ πηγάζων ζωὴν, ἐξ οἰκείου φωτὸς, παντοδύναμε Σωτὴρ, ἐλέησον ἡμᾶς.

Σήμερον ὁ Χριστὸς, θάνατον πατήσας, καθὼς εἶπεν ἀνέστη, καὶ τὴν ἀγαλλίασιν τῷ κόσμῳ ἐδωρήσατο· ἵνα πάντες κραυγάζοντες, τὸν ὕμνον, οὕτως εἴπωμεν· Ἡ πηγὴ τῆς ζωῆς, τὸ ἀπρόσιτον φῶς, παντοδύναμε Σωτὴρ, ἐλέησον ἡμᾶς.

Σὲ Κύριε τὸν ὄντα, ἐν πάσῃ τῇ κτίσει, ἁμαρτωλοὶ ποῦ φύγωμεν; ἐν τῷ οὐρανῷ; αὐτὸς κατοικεῖς· ἐν τῷ ᾅδῃ; ἐπάτησας θάνατον· εἰς τὰ βάθη τὰ τῆς θαλάσσης; ἐκεῖ ἡ χείρ σου Δέσποτα. Πρὸς σὲ καταφεύγομεν, σοὶ προσπίπτοντες ἱκετεύομεν· Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἐλέησον ἡμᾶς.

### Ἕτερα Ἀνατολικά.

Ἐν τῷ σταυρῷ σου Χριστὲ καυχώμεθα, καὶ τὴν Ἀνάστασίν σου ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

ΚΟΡΑΗΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡ...

Δόξα τῇ δυνάμει σου, Κύριε, ὅτι κατήργησας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου· ἀνεκαίνισας ἡμᾶς διὰ τοῦ Σταυροῦ σου, δωρούμενος ἡμῖν ζωὴν καὶ ἀφθαρσίαν.

Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας, θανάτῳ θάνατον ὤλεσεν.

## Καὶ τῆς Ζωοδόχου πηγῆς τρία, δευτεροῦντες τὸ α'.

### Ἦχος ὁ αὐτός.

Ὅλην ἀποθέμενοι.

Ξένα καὶ παράδοξα, τῶν οὐρανῶν ὁ Δεσπότης, ἐπὶ σοὶ τετέλεκε, καταρχὰς Πανάμωμε· καὶ γὰρ ἄνωθεν, ἐμφανῶς ἔσταξεν, ὑετὸς καθάπερ, ἐν τῇ μήτρᾳ σου Θεόνυμφε, πηγὴν δεικνύων σε, σύμπαν ἀγαθὸν ἀναβλύζουσαν· πλημμύραν τε ἰάσεων, τὰς εὐεργεσίας προῤῥέουσαν, ἅπασιν ἀφθόνως, τοῖς χρήζουσι τὴν ῥῶσιν τῶν ψυχῶν, καὶ τὴν ὑγείαν τοῦ σώματος, ὕδατι τῆς χάριτος.

Μάννα σε οὐράνιον, καὶ Παραδείσου Παρθένε, τὴν πηγὴν τὴν ἔνθεον, ὀνομάζω Δέσποινα προσφυέστατα· τῆς γὰρ γῆς ἔδραμεν, ἡ ῥοὴ καὶ χάρις, τῆς πηγῆς σου τετραμέρειαν, αὐτῆς καλύπτουσα, ξένοις τεραστίοις ἑκάστοτε, καὶ πᾶσι τὸ αἰτούμενον γίνεται τὸ ὕδωρ πινόμενον· ὅθεν γεγηθότες, Χριστώνυμοι προστρέχομεν πιστῶς, ἁγιασμὸν ἀρυόμενοι, πάντοτε γλυκύῤῥοον.

Ῥεῖθρα τῶν ἰάσεων, ἀναβλυστάνεις Παρθένε, τοῖς πιστῶς προστρέχουσι, τῇ πηγῇ σου πάντοτε, Θεονύμφευτε· δωρεὰν ῥέεις γάρ, δαψιλεῖ καὶ χύδην, τοῖς νοσοῦσι τὰ ἰάματα· τυφλοὺς ἐμβλέποντας, φαίνεις ἐναργῶς προσιόντας σοι· χωλοὺς πολλοὺς ἀνώρθωσας, καὶ τοὺς παρειμένους συνέσφιγξας· τὸν δὲ νεκρωθέντα, ἐζώωσας προσχύσει τῇ τριττῇ· ὑδρωπικῶν καὶ δυσπνόων τε πάθη ἐθεράπευσας.



## Δόξα Ἦχος πλ. δ'.

Τίς λαλήσει τὰς δυναστείας σου πηγή; ἥτις ἐξ ἀκενώτων θαυμάτων πλημμυροῦσα, πολλὰ καὶ ὑπὲρ φύσιν ἐνεργεῖς διὰ ἰάσεων. Βαβαὶ τῶν μεγαλείων, ὧν τοῖς πᾶσιν ἐπιῤῥέεις· οὐ μόνον γὰρ νοσήματα χαλεπὰ ἀπήλασας τῶν προσιόντων μετὰ πόθου, ἀλλὰ καὶ τὰ τῶν ψυχῶν πάθη ἐκπλύνεις, καθαρίζουσα πανάσπιλε· σὺν πᾶσι βραβεύουσα καὶ μέγα ἔλεος.

## Καὶ νῦν, Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς· φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

## Εἴσοδος, τὸ, Φῶς ἱλαρόν· Προκείμενον, Ἦχος βαρύς.

Ἀγαπήσω σε Κύριε ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου.

Στίχ. Ὁ Θεός μου βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν.

Στίχ. Αἰνῶν ἐπικαλέσομαι τὸν Κύριον.

Στίχ. Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου.

## Εἰς τὸν Στίχον, τὸ Ἀναστάσιμον Στιχηρὸν τοῦ Ὀκτωήχου.

### Ἦχος πλ. β'.

«Τὴν Ἀνάστασίν σου Χριστὲ Σωτήρ, Ἄγγελοι ὑμνοῦσιν «ἐν οὐρανοῖς· καὶ ἡμᾶς τοὺς ἐπὶ γῆς καταξίωσον, ἐν καθαρᾷ «καρδίᾳ σὲ δοξάζειν».

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## Εἶτα, τὰ Στιχηρὰ τοῦ Πάσχα. Εἰ δὲ βούλει, λέγε πρῶτον τὰ παρόντα Στιχ. τῆς Θεοτόκου.

### Ἦχος πλ. ά.

Χαίροις ἀσκητικῶν.

Χαίροις ἡ ζωηφόρος πηγή, κατὰ θαλάσσας πελαγίζουσα θαύματα πρὸς πᾶσαν τὴν οἰκουμένην, ὠκεανὲ νοητέ, τὰ νειλῷα ῥεῖθρα ὑπερβαίνουσα, τῇ χύσει τῆς χάριτος· Σιλωὰμ ἄλλος δεύτερος, ὕδωρ πηγάζων, ὡς ἐκ πέτρας παράδοξον, Ἰορδάνου τε, δεξαμένη ἐνέργειαν· μάννα σωτηριῶδές τε, ἐναργῶς τὸ γινόμενον, πρὸς τοῦ ζητοῦντος τὴν χρείαν, πλούσιον ὄντως καὶ ἄφθονον. Χριστοῦ Μῆτερ Κόρη, ἡ προχέουσα τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Στίχ. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.

Ὕμνοις ἐν ἐξαισίοις πιστοί, τὴν ἐπουράνιον νεφέλην ὑμνήσωμεν, σταγόνα τὴν οὐρανίαν, τὸν ζωοδότην Χριστόν, ἐπὶ γῆς ἀῤῥεύστως ὑετίζουσαν· τὸ ζῶν τὸ ἀλλόμενον, καὶ πηγάζον ἀθάνατα, ὕδωρ τὸ θεῖον, τὴν ἀμβροσίαν τοῦ νέκταρος, τοῦ μηδέποτε, μετὰ πόσιν ἐκρέοντος· δίψαν δὲ τὴν συντήκουσαν, ψυχὰς ἀπελαύνοντος, οὗπερ πιόντες ἐμφρόνως, ῥεύματα θεῖα προβάλλονται, κοιλίας ἐκ νόου ἐπομβρίζοντα τοῖς πᾶσι χάριν τὴν ἄφθονον.

Στίχ. Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ.

Χαίροις ἡ Ζωοδόχος πηγή, ἡ ἀεννάως ἀναβλύζουσα χάριτας, ἡ βρύσις τῶν ἰαμάτων, ἡ πᾶσαν νόσων ἰσχύν, ἀσθενῆ καὶ φαύλην ἀπελέγχουσα· τυφλῶν ἡ ἀνάβλεψις, καὶ λεπρῶν θεία κάθαρσις· ἡ πηγάζουσα νοσημάτων πᾶν φάρμακον, ἅπασι τοῖς προστρέχουσι, πιστῶς τῷ τεμένει σου· μέγα κοινὸν ἰατρεῖον, ἄμισθον ὄντως καὶ ἕτοιμον· Χριστοῦ Μῆτερ Λόγου, τοῦ πηγάζοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος.



## Δόξα. Ἦχος πλ. ά.

Σαλπίσωμεν φιλέορτοι ἐν ὕμνοις, σκιρτήσωμεν ἐν ὕδασι, καὶ χορεύσωμεν εὐφραινόμενοι, τοῖς ἀεννάως πλημμυροῦσι τῆς Ζωηφόρου πηγῆς. Βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ πηγῆς τὴν χάριν προχείτωσαν ἀφθόνως· βασιλεῖς γὰρ ἔσωσε· τοὺς ἐν κλίνῃ συσχεθέντας δέ, τῇ προσψαύσει ἐξανέστησε. Ποιμένες τε καὶ σύμπαντες, τὴν ὀμβροφόρον νεφέλην, τὸ σωτήριον ὕδωρ, συνελθόντες ἀρυσώμεθα· οἱ ἐν νόσοις ἀπαλλαγήν· οἱ ἐν κινδύνοις τὴν ῥῶσιν· τὴν ἀναψυχὴν οἱ ἐν δίψει· τὰ ὄμματά τε οἱ τυφλοί· οἱ κωφεύοντες τὴν εὐηκοΐαν· τὴν ἰατρείαν οἱ καχεκτοῦντες· οἱ ἐν θανάτοις τὴν ζωηφόρον· οἱ πάντες τὴν πανταχοῦ πιστοῖς προῤῥέουσαν, ὕδατα σωτηρίας, ἀνακροτήσαντες, οὕτω κράξωμεν· Ἀείζωα προχέουσα νάματα, ἐκ πηγῆς ἁγνή, μὴ διαλίπῃς Παρθένε, πρεσβεύουσα πάντοτε ὑπὲρ τῶν δούλων σου.

Καὶ νῦν, ὁ αὐτός. Ἀναστάσεως ἡμέρα. Τό, Χριστὸς ἀνέστη. Καὶ ἀπόλυσις.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ.

### ΠΡΩΙ.

Εἰς τὸν Ὄρθρον, Ὁ Κανὼν τοῦ Πάσχα μετὰ τῶν Εἱρμῶν εἰς ή. καὶ τῆς Θεοτόκου εἰς ς΄.

Ὁ Κανὼν τοῦ Πάσχα.

Ὠδὴ ά. Ἦχος ά.

»Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν Λαοί. Πάσχα Κυ»ρίου, Πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωὴν, καὶ ἐκ γῆς πρὸς »οὐρανὸν, Χριστὸς ὁ Θεὸς, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

Καθαρθῶμεν τὰς αἰσθήσεις, καὶ ὀψόμεθα τῷ ἀπροσίτῳ φωτὶ τῆς ἀναστάσεως, Χριστὸν ἐξαστράπτοντα, καὶ χαίρετε, φάσκοντα, τρανῶς ἀκουσόμεθα, ἐπινίκιον ᾄδοντες.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω, ἑορταζέτω δὲ κόσμος, ὁρατός τε ἅπας καὶ ἀόρατος· Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.

Εἶτα τῆς Θεοτόκου, οὗ ἡ ἀκροστιχίς.

Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου.

Εἱρμὸς ὁ αὐτός.

Νῦν πηγάσας μοι Παρθένε Θεοτόκε πηγὴ, χάριν διδοῦσα λόγου, ὡς ἀνυμνήσω σου πηγὴν, τὴν βλαστάνουσαν ζωὴν καὶ χάριν πιστοῖς· σὺ γὰρ ἐνυπόστατον Λόγον ἐπήγασας.



Ἰατρεῖον ὑπὲρ φύσιν, ὁ ναός σου σεμνὴ, δείκνυται πᾶσι Κόρη· ἐκ γὰρ θανάτου προφανῶς, τοὺς προστρέχοντας πιστοὺς, σαφῶς ἀνιστᾷ, καὶ πᾶσι τὴν ἄφθονον, ἀναβλύζει γλυκύτητα.

Καταρρέεις οὐρανόθεν, ἀκενώτως ἡμῖν, χάριτας ὄντως μόνη· τὸν γὰρ τυφλώττοντα ποιεῖς, ἀναβλέπειν πρὸς τὸ φῶς, βορβόρῳ καινῷ, φωνήσασα ἄνωθεν, ὑπὲρ ἔννοιαν τῷ Λέοντι.

Ἡ κοινὴ φιλοτιμία, τοῦ βροτείου σεμνὴ, Χαῖρε· ὁ γὰρ τῶν ὅλων ποιητὴς, ἐπὶ σοὶ ὥσπερ σταγὼν, κατέβη σαφῶς, πηγήν σε ἀθάνατον, ἀναδείξας Θεόνυμφε.

Ὠδὴ γ΄.

«Δεῦτε πόμα πίωμεν καινὸν οὐκ ἐκ πέτρας ἀγόνου τερα»τουργούμενον, ἀλλ᾽ ἀφθαρσίας πηγὴν, ἐκ τάφου ὀμβρήσαν»τος Χριστοῦ, ἐν ᾧ στερεούμεθα.

Νῦν πάντα πεπλήρωται φωτὸς, οὐρανός τε καὶ γῆ, καὶ τὰ καταχθόνια· ἑορταζέτω γοῦν πᾶσα κτίσις, τὴν Ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται.

Χθὲς συνεθαπτόμην σοι Χριστὲ, συνεγείρομαι σήμερον ἀναστάντι σοι· συνεσταυρούμην σοι χθὲς, αὐτός με συνδόξασον Σωτὴρ, ἐν τῇ βασιλείᾳ σου.

Τῆς Θεοτόκου.

Φωτεινόν σε ἅγιον ναὸν, τοῦ Δεσπότου τῶν ὅλων Κόρη ἐπίσταμαι· καὶ ἀφθαρσίας πηγὴν, τὸ ὕδωρ προρρέουσαν Χριστὸν, ἐξ οὗ ποτιζόμεθα.

Ὅσην χάριν Δέσποινα πηγὴ, Αὐτοκράτορι δίδως οὔρων τὴν πρόοδον, ἐπεχομένην δεινῶς, τοῦ λίθου ὑπόστασιν φρικτὴν, τῷ ὕδατι λύσασαν.

Ῥέει χάρις ἄφθονος ἐκ σοῦ, Θεοτόκε Παρθένε χύδην πηγάζουσα· χωλοὶ σκιρτῶσιν ἐν σοὶ, λεπρῶν καθαρίζεται πλῆθος, καὶ δαίμονες πνίγονται.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΧΟΡΗΓΟΣ ΨΗΦΙΟΠΟΙΗΣΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Ὅλοις νέμεις ἴασιν πιστοῖς, βασιλεῦσι, δημώταις, πένησιν, ἄρχουσι, πτωχοῖς, πλουσίοις κοινῶς, τὸ ὕδωρ προχέουσα πηγή, ἀποίκιλον φάρμακον.

## Κοντάκιον τοῦ Πάσχα.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν· καὶ ἀνέστης ὡς νικητὴς, Χριστὲ ὁ Θεὸς, Γυναιξὶ Μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

## Εἶτα, Κάθισμα τῆς Θεοτόκου, Ἦχος πλ. δ'.

Τὴν σοφίαν καὶ Λόγον.

Τὴν ἀένναον κρήνην καὶ ζωηρὰν, τὴν πηγάζουσαν ῥεῖθρα θεῖαν πηγὴν, συμφώνως αἰνέσωμεν, οἱ τὴν χάριν αἰτούμενοι· καθ' ἑκάστην βρύει, καὶ γὰρ τὰ ἰάματα, ὡς ποταμῶν τὰ ῥεύματα, δεικνῦσα ἐλάχιστα. Ὅθεν κατὰ χρέος προσιόντες ἐν πόθῳ, πιστῶς ἀρυσώμεθα, ἐκ πηγῆς ἀνεξάντλητον, ῥῶσιν ὄντως ἀθάνατον, δροσίζουσαν πιστῶς τῶν εὐσεβῶν τὰς καρδίας, χείλεσιν ἐκβοήσωμεν· Σὺ εἶ τῶν πιστῶν τὸ παραμύθιον.

## Ὠδὴ δ'.

«Ἐπὶ τῆς θείας φυλακῆς, ὁ θεηγόρος Ἀββακοὺμ, στήτω »μεθ' ἡμῶν καὶ δεικνύτω, φαεσφόρον Ἄγγελον, διαπρυσίως »λέγοντα· Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστὸς »ὡς παντοδύναμος.

Ἄρσεν μὲν ὡς διανοῖξαν τὴν παρθενεύουσαν νηδὺν, πέφηνε Χριστός· ὡς βροτὸς δὲ, ἀμνὸς προσηγόρευται· ἄμωμος δὲ, ὡς ἄγευστος κηλῖδος, τὸ ἡμέτερον Πάσχα· καὶ ὡς Θεὸς ἀληθὴς, τέλειος λέλεκται.

Ὡς ἐνιαύσιος ἀμνὸς, ὁ εὐλογούμενος ἡμῖν στέφανος χρηστὸς ἑκουσίως, ὑπὲρ πάντων τέθυται, Πάσχα τὸ καθαρτήριον· καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος, δικαιοσύνης ἡμῖν ἔλαμψεν Ἥλιος.



Ὁ θεοπάτωρ μὲν Δαυῒδ, πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλατο σκιρτῶν· ὁ λαὸς δὲ τοῦ Θεοῦ ὁ ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν, ὁρῶντες εὐφρανθῶμεν ἐνθέως, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

## Τῆς Θεοτόκου.

Ὑπὲρ τὴν ψάμμον ἀληθῶς, καὶ τὰς σταγόνας ὑετῶν, πέφυκε Παρθένε τὰ πλήθη, τῆς πηγῆς τῶν ἔργων σου, ἀκαταπαύστως ῥέοντα, ἅπασαν ἐπὶ χθόνα πλουσίως, πάντα νοσοῦντα δεινῶς, τάχος ἰώμενα.

Κατασχεθέντα γυναικὸς, ὑπὸ καρκίνου τὸν μαζὸν, ὕδωρ ἐπιχεῖται Παρθένε, τῆς πηγῆς σου Δέσποινα· καὶ παραυτίκα πέπαυται, πάθη θανατηφόρα τῷ ῥείθρῳ, καὶ ὁ καρκῖνος ὀρθὰ βαίνειν ἐγνώρισεν.

Ἀκατανόητον ἐν σοὶ, καὶ ὑπὲρ φύσιν τὸ πραχθὲν, ἔνεστι σαφῶς Θεοτόκε· τὸ γὰρ ὕδωρ γίνεται, τὸ τῆς πηγῆς σου ἴαμα, νόσων θανατηφόρων ἐναντίον, ὅπερ ἡ φύσις σαφῶς οἶδεν οὐδέποτε.

Ἀεὶ θανατοῖ με ὁ ἐχθρὸς, ταῖς ἐνηδόνοις προσβολαῖς, Δέσποινα πηγὴ Θεοτόκε, μὴ παρίδῃς, πρόφθασον, ἡ ταχυνὴ βοήθεια· τούτου δὲ τῶν παγίδων με λύτρου, ἵνα ὑμνῶ σε ἀεὶ τὴν πολυύμνητον.»

## Ὠδὴ ε'.

«Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου τὸν ὕμνον » προσοίσωμεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύ» νης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.»

## Τροπάριον.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, οἱ ταῖς τοῦ ᾅδου σειραῖς, συνεχόμενοι δεδορκότες, πρὸς τὸ φῶς ἠπείγοντο Χριστὲ, ἀγαλλομένῳ ποδὶ, Πάσχα κροτοῦντες αἰώνιον.

Προσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριστῷ ἐκ τοῦ μνήματος, ὡς νυμφίῳ, καὶ συνεορτάσωμεν, ταῖς φιλεόρτοις τάξεσι, Πάσχα Θεοῦ τὸ σωτήριον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣ...

## Τῆς Θεοτόκου.

Λαλούμενα Κόρη Παρθένε, τὰ τῆς πηγῆς σου τῷ ὄντι τεράστια, καταπλήττει τὴν τῶν βροτῶν διάνοιαν· ὑπὲρ γὰρ φύσιν πέφυκε, πάντας πιστοὺς ἁγιάζοντα.

Ἱστόρησε πόκος, τὸ μάννα, καὶ Σιλωάμ, καὶ ἡ πέτρα πηγάζουσα, Σολομῶντος ἡ στοὰ τὴν χάριν σου, τὰ Ἰορδάνεια νάματα, καὶ ἡ πηγὴ Σαμαρείτιδος.

Σταγόνες σου Κόρη Παρθένε, αἱ τῆς πηγῆς, καὶ νεκρὸν ἀνεζώωσαν· ὑπὲρ λόγον τὸ πραχθὲν καὶ ἔννοιαν· τὰ σὰ γὰρ πάντα πάναγνε, λόγον νικᾷ τὸν ἀνθρώπινον.

Τὰ πάθη μου Κόρη ἰάσαις, τῆς αἱμοῤῥοίας πηγὴν ἡ ξηράνασα, καὶ τὸ ῥῖγος, τῆς φλογὸς τὴν ἄναψιν, καὶ ἐκτικὴν διάθεσιν, αἴρων δεσμὰ καὶ γαστρόῤῥοιαν.

## Ὠδὴ ς'.

«Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας
» μοχλοὺς αἰωνίους, κατόχους πεπεδημένων Χριστέ, καὶ
» τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.»

## Τροπάριον.

Φυλάξας τὰ σήμαντρα σῶα Χριστὲ, ἐξηγέρθης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς Παρθένου μὴ λυμηνάμενος, ἐν τῷ τόκῳ σου, καὶ ἀνέῳξας ἡμῖν, Παραδείσου τὰς πύλας.

Σῶτερ μου τὸ ζῶν τε καὶ ἄθυτον, ἱερεῖον ὡς Θεὸς, σεαυτὸν ἑκουσίως, προσαγαγὼν τῷ Πατρὶ, συνανέστησας παγγενῆ τὸν Ἀδὰμ, ἀναστὰς ἐκ τοῦ τάφου.

## Τῆς Θεοτόκου.

Οἱ λόγοι τοῦ Λόγου ὡς ὄντως πηγὴν, ἀνυμνοῦσί σε Ἁγνή· τῆς σοφίας βυθὸν γὰρ, ὡς ὑπὲρ λόγον γεννᾷς, τὸν κρεμάσαντα, ἐν αἰθέρι τὰς ῥοὰς, καὶ τὴν γῆν ἐπὶ ὕδωρ.

Ὑπῆλθες τὴν τῶν κλιμάκων φορὰν, ἀπειλοῦσαν συντριβὴν, τοὺς ἐκεῖσε ζωγράφους, ὦ παναγία πηγὴ, διασώσασα, καὶ λαὸν ἀπὸ σεισμοῦ, πεπτωκότα τοῦ δόμου.



Τὰς μήτρας ἀγόνους στειρώσει τοπρὶν, διαλύεις ἐμφανῶς, τῆς πηγῆς σου τῷ ῥεῖθρῳ· καὶ γὰρ ὡς τέξασα σὺ, παρθενεύουσα, τὸν Δεσπότην τοῦ παντὸς, καὶ τοὺς τόκους βραβεύεις.

Οὐ λόγος, οὐ νοῦς, οὐδὲ γλῶττα, τὸν σὸν ἐξισχύουσιν Ἁγνὴ, τοκετὸν εὐφημῆσαι· ἀλλ' ἀσθενοῦσιν ἐν σοὶ, καὶ ἐλέγχεται, φιλοσόφων τὸ σεμνὸν, καὶ ῥητόρων κομψότης.

## Κοντάκιον Ἦχος πλ. δ'.

Τῇ ὑπερμάχῳ.

Ἐξ ἀκενώτου σου πηγῆς Θεοχαρίτωτε, ἐπιβραβεύεις μοι πηγάζουσα τὰ νάματα, ἀεννάως τῆς σῆς χάριτος ὑπὲρ λόγον· τὸν γὰρ Λόγον ὡς τεκοῦσαν ὑπὲρ ἔννοιαν, ἱκετεύω σε δροσίζειν με σῇ χάριτι· ἵνα κράζω σοι· Χαῖρε ὕδωρ σωτήριον.

## Ὁ Οἶκος.

Ἄχραντε Θεοτόκε, ἡ τεκοῦσα ἀῤῥήτως, Πατρὸς τὸν προαιώνιον Λόγον, πλάτυνόν μου τὸ στόμα σεμνὴ, συνεισφέρουσά με πρὸς τὸν σὸν ἔπαινον, ὡς ἂν ἀνευφημήσω σε, κραυγάζων τῇ πηγῇ σου ταῦτα·

Χαῖρε πηγὴ, χαρμονῆς ἀλλήκτου, χαῖρε ῥοὴ, καλλονῆς ἀῤῥήτου.

Χαῖρε, νοσημάτων παντοίων κατάλυσις· χαῖρε, παθημάτων ποικίλων κατάκλυσις.

Χαῖρε ῥεῖθρον διειδέστατον, ἁγιάζον τοὺς πιστούς· χαῖρε ὕδωρ χαριέστατον, τοῖς νοσοῦσι πολλαπλῶς.

Χαῖρε νᾶμα σοφίας, ἀγνωσίαν ἐξαῖρον· χαῖρε κρᾶμα καρδίας, ἀμβροσίαν προῤῥέον.

Χαῖρε κρατὴρ τοῦ μάννα ζωῤῥύτε· χαῖρε λουτὴρ καὶ νέκταρ θεόῤῥευστε·

Χαῖρε, πορθμὸν ἀσθενείας δεικνῦσα· χαῖρε, φλογμὸν ἀῤῥωστίας σβεννῦσα.

Χαῖρε ὕδωρ σωτήριον.

## Συναξάριον, τοῦ Μηναίου, εἶτα τὸ παρόν.

Τῇ Παρασκευῇ τῆς Διακαινησίμου, ἑορτάζομεν τὰ ἐγκαίνια τοῦ ναοῦ τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν καὶ Θεομήτορος, τῆς Ζωηφόρου Πηγῆς· ἔτι δὲ καὶ μνείαν ποιούμεθα τῶν ἐν τούτῳ τελεσθέντων ὑπερφυῶν θαυμάτων παρὰ τῆς Θεομήτορος.

### Στίχοι.

Μάννα, Σιλωὰμ, καὶ Στοὰν Σολομῶντος,
Πηγὴν Κόρη σὴν, ἐμφανῶς πᾶς τις βλέπει.

Ταῖς τῆς σῆς Μητρὸς πρεσβείαις, Χριστὲ ὁ Θεὸς, ἐλέησον ἡμᾶς.
Τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι· καὶ, Ἀναστὰς ὁ Ἰησοῦς· ἐκ γ΄. ἀμφότερα.

### Ὠδὴ ζ΄.

« Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος,
» πάσχει ὡς θνητὸς, καὶ διὰ πάθους τὸ θνητὸν, ἀφθαρσίας
» ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς
» καὶ ὑπερένδοξος.»

### Τροπάριον.

Γυναῖκες μετὰ μύρων θεόφρονες, ὀπίσω σου ἔδραμον· ὃν δὲ ὡς θνητὸν, μετὰ δακρύων ἐζήτουν, προσεκύνησαν, χαίρουσαι ζῶντα Θεὸν, καὶ Πάσχα τὸ μυστικὸν, σοῖς Χριστὲ Μαθηταῖς εὐηγγελίσαντο.

Θανάτου ἑορτάζομεν νέκρωσιν, ᾅδου τὴν καθαίρεσιν, ἄλλης βιοτῆς, τῆς αἰωνίου ἀπαρχὴν, καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον, τὸν μόνον εὐλογητὸν τῶν Πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ σωτήριος, νὺξ καὶ φωταυγὴς, τῆς λαμπροφόρου ἡμέρας, τῆς ἐγέρσεως οὖσα προάγγελος, ἐν ᾗ τὸ ἄχρονον φῶς, ἐκ τάφου σωματικῶς, πᾶσιν ἐπέλαμψεν.

### Τῆς Θεοτόκου.

Ὑδρεύσασθε νοσοῦντες ἰάματα· ἡ πάναγνος ῥέει γὰρ, θείας ἐκ πηγῆς, τὸν γλυκασμὸν τὸν ἀληθῆ, τὸν χειμάῤῥουν



τρυφῆς ὄντως βλύζουσα· διὸ καὶ πίστει κρουνοὺς, τοὺς ἀφθόνους ἀρυσώμεθα σύμπαντες.

Ξενίζει τοὺς ἀκούοντας Δέσποινα, τὰ ξένα σου τέρατα, πάντας τοὺς πιστούς· τοὺς γὰρ ἀλάλους καὶ κωφοὺς, ὡς εὐλάλους δεικνύει τὸ ὕδωρ σου, τοὺς πάσχοντάς σε δεινῶς θεραπεύει, καὶ ἴασιν χαρίζεται.

Ἀνάγεις ἐκ καμίνου τῶν θλίψεων, δροσίζουσα νάμασι, ξένης ἐκ πηγῆς, τοὺς προσιόντας σοι Σεμνή· φαγεδαίνης λυτροῦται γὰρ ἄνθρωπος, καὶ λώβης, τὸν δὲ λεπρὸν θεραπεύεις, καὶ ἄνθρακας κατέσβεσας.

Νεάνιδες καὶ κόραι τὴν Δέσποιναν, καὶ σύμπαντες ἄνθρωποι, πίστει ἐκ ψυχῆς, ἀνευφημήσωμεν λαμπρῶς· διατρήσεις γὰρ ἥλων, ὑέλωπας, καὶ ἕλκη τὰ πονηρὰ, καὶ ὀγκώσεις, καὶ παράλυτον ἰάσατο.

### Ὠδὴ η΄.

« Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ
» ἡ βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτὴ, καὶ πανήγυρις ἐστὶ
» πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.»

### Τροπάριον.

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος τῆς θείας εὐφροσύνης, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως, βασιλείας τε Χριστοῦ κοινωνήσωμεν, ὑμνοῦντες αὐτὸν, ὡς Θεὸν εἰς τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου Σιὼν καὶ ἴδε· ἰδοὺ γὰρ ἥκασί σοι, θεοφεγγεῖς ὡς φωστῆρες, ἐκ δυσμῶν, καὶ βοῤῥᾶ, καὶ θαλάσσης, καὶ ἑῴας τὰ τέκνα σου, ἐν σοὶ εὐλογοῦντα, Χριστὸν εἰς τοὺς αἰῶνας.

Πάτερ παντοκράτορ, καὶ Λόγε, καὶ Πνεῦμα, τρισὶν ἑνιζομένη, ἐν ὑποστάσεσι φύσις; ὑπερούσιε καὶ ὑπέρθεε, εἰς σὲ βεβαπτίσμεθα, καὶ σὲ εὐλογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

### Τῆς Θεοτόκου.

Θεῖον ἡ πηγὴ καὶ σεβάσμιον ὕδωρ, προῤῥέει σου Παρ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

θένε· ὑδρωπικῶν γὰρ τὸ ῥεῦμα, ἀναχαιτίζει σφοδρῶς, ἐπικλήσει τῇ θείᾳ τῆς χάριτος· διό σε τιμῶμεν πηγὴ εἰς τοὺς αἰῶνας.

Πάντες τὸ σεπτὸν, καὶ ζωήῤῥυτον ὕδωρ, ὑμνήσωμεν προφρόνως· τῆς γὰρ δυσπνοίας τὸ ῥεῦμα κατὰ χώραν ἱστᾷ, καὶ ἐλεύθερον ποιεῖ πρὸς διέξοδον· βαβαὶ σῶν θαυμασίων, ἁγνὴ Θεοκυῆτορ.

Ποῖον εὐφημήσει Πανύμνητε στόμα, τοῦ τόκου σου τὸ ξένον, ἀλλὰ καὶ νοῦς ὁποῖος, τῶν θαυμάτων περιβλέψαιτο, καὶ λόγοις κροτήσειεν, οὐκ ἔστι τῇ φύσει ἰσχὺς τὰ σὰ θαυμάζειν.

Ὅλον ἐπὶ σοὶ τοῦ θανάτου τὸ κράτος, ἠφάνισται ἀθρόον, ὦ Βασιλὶς καὶ Κυρία· Βασιλέα καὶ γὰρ τὴν ἀθάνατον ζωὴν σὺ ἐπήγασας, τὸ ὕδωρ τὸ μάννα, Χριστὸν εἰς τοὺς αἰῶνας.

## Ὠδὴ θ'.

«Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυ-
» ρίου, ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν, καὶ ἀγάλλου Σιών· σὺ δὲ
» ἁγνὴ, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

## Τροπάριον.

Ὦ θείας ὦ φίλης, ὦ γλυκυτάτης σου φωνῆς· μεθ' ἡμῶν ἀψευδῶς γὰρ, ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος Χριστέ· ἣν οἱ πιστοὶ, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

Ὦ Πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστέ· ὦ σοφία καὶ Λόγε, τοῦ Θεοῦ καὶ δύναμις· δίδου ἡμῖν ἐκτυπώτερον, σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ, ἡμέρᾳ τῆς Βασιλείας σου.

## Τῆς Θεοτόκου.

Ὑδάτων ἁπάντων, Κόρη ὑπέρκειται ἁγνὴ, τῆς πηγῆς σου τὸ ὕδωρ, ἐμφανῶς δωρούμενον, ἀπαλλαγὴν νοσημάτων δεινῶν, καὶ ταῖς ψυχαῖς ἅπασαν τὴν ῥῶσιν, ὡς ὑπὲρ φύσιν χεόμενον.

Λυτῆρα τῶν νόσων, τὸν νέον ἰδοὺ Σιλωάμ, τῆς πηγῆς σου Παρθένε, καθορῶμεν ἅπαντες· ὄμματα γὰρ, προσλαμβάνει πηρὸς, ἅπαντες δὲ, ῥῶσιν ἀεννάως, πρὸς τῇ ζωῇ πορίζόμεθα.



Οἱ ῥῶσιν ζητοῦντες, προσδράμετε ἐν τῇ πηγῇ· ἡ γὰρ Κόρη Παρθένος, ἐνοικεῖ τῷ ὕδατι. Σκίρτα πιστῶν, καὶ εὐφραίνου πληθὺς, οὕτως ὡς χρὴ, ἕξεις τῷ τεμένει τὴν ἀμοιβὴν τῶν αἰτήσεων.

Ὑψώθη πηγῆς σου, τὸ ὕδωρ ὑπὲρ οὐρανοὺς, καὶ τῆς γῆς τὰς ἀβύσσους, ταῖς ῥοαῖς διέδραμε· τοῦτο ἐστὶν ἀμβροσία ψυχῆς, νέκταρ πιστῶν, μέλι τὸ ἐκ πέτρας, καὶ ἡ τοῦ μάννα διάδοσις.

Εὐφραίνεις Παρθένε, τὸν Ἄνακτα ὑπερφυῶς, ἀναβλύζουσα χάριν, ἐκ πηγῆς ἀένναον, τούτῳ διδοὺς, κατ' ἐχθρῶν τὴν ἰσχὺν, νίκας ἀεὶ, ῥῶσιν καὶ εἰρήνην, καὶ αἰτημάτων ἐκπλήρωσιν.

## Ἐξαποστειλάριον τοῦ Πάσχα.

Σαρκὶ ὑπνώσας ὡς θνητὸς, ὁ Βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς, καὶ καταργήσας θάνατον, Πάσχα τῆς ἀφθαρσίας τοῦ κόσμου σωτήριον.

## Καὶ τῆς Θεοτόκου ὅμοιον.

Πηγὴ ὑπάρχεις ἀληθῶς, ὕδατος ζῶντος Δέσποινα· ἐκπλύνεις οὖν νοσήματα, ψυχῶν σωμάτων χαλεπὰ, ἐν τῇ προσψαύσει μόνη σου, ὕδωρ τῆς σωτηρίας, Χριστὸν ἡ προχέουσα.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. η. καὶ ψάλλομεν Στιχηρὰ Ἀναστάσιμα τῆς Ὀκτωήχου, δ'. Ἦχος πλ. β'.

Ὁ Σταυρός σου Κύριε, ζωὴ καὶ ἀνάστασις ὑπάρχει τῷ λαῷ σου· καὶ ἐπ' αὐτῷ πεποιθότες, σὲ τὸν ἀναστάντα Θεὸν ἡμῶν ὑμνοῦμεν· Ἐλέησον ἡμᾶς.

Ἡ ταφή σου Δέσποτα, Παράδεισον ἤνοιξε τῷ γένει τῶν ἀνθρώπων· καὶ ἐκ φθορᾶς λυτρωθέντες, σὲ τὸν ἀναστάντα Θεὸν ἡμῶν ὑμνοῦμεν· Ἐλέησον ἡμᾶς.

Σὺν Πατρὶ καὶ Πνεύματι Χριστὸν ἀνυμνήσωμεν τὸν ἀναστάντα ἐκ νεκρῶν, καὶ πρὸς αὐτὸν ἐκβοῶμεν· Σὺ ζωὴ ὑπάρχεις ἡμῶν καὶ ἀνάστασις· ἐλέησον ἡμᾶς.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

Τριήμερος ἀνέστης Χριστὲ, ἐκ τάφου, καθὼς γέγραπται, συνεγείρας, τὸν Προπάτορα ἡμῶν· διό σε καὶ δοξάζει, τὸ γένος τῶν ἀνθρώπων, καὶ ἀνυμνεῖ σου τὴν Ἀνάστασιν.

### Καὶ τῆς Θεοτόκου. Ἦχος β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Ὕδωρ τὸ τῆς πηγῆς σωτήριον ὑπάρχει, πᾶσι τοῖς ἀσθενοῦσι· προσέλθωμεν οὖν πίστει, καὶ χάριν ἀρυσώμεθα.

Φρέαρ τὸ ζωηρὸν, πηγῆς τῆς ἀθανάτου, τοῖς προσιοῦσι πόθῳ ἰάσεων παρέχει, πλημμύραν ἀνεξάντλητον.

Στίχ. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.

Ῥώννυσι τὰς ψυχὰς, τὸ ὕδωρ τῆς Παρθένου· οἱ τῶν παθῶν ἐν ῥύποις, προσδράμωμεν τῇ Κόρῃ, καὶ τούτους ἀποπλύνωμεν.

Στίχ. Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ.

Στάμνος ἡ ἱερὰ, τὸ μάννα νῦν ἀφθόνως, πηγῆς ἐξ ἀεννάου, προχέει τοῖς αἰτοῦσι· τὴν χρείαν πᾶς ἀντλήσωμεν.

Εἶτα, τὰ Στιχηρὰ τοῦ Πάσχα. Ἐκτενὴς καὶ Ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τοῦ Πάσχα· ἡ Πρᾶξις τῆς ἡμέρας, καὶ ὁ Ἀπόστολος τῆς Θεοτόκου. Εὐαγγέλιον τῆς ἡμέρας καὶ τῆς Θεοτόκου, ζήτει Σεπτεμβρίου η. Κοινωνικὸν τοῦ Πάσχα. Μεγαλυνάριον τῆς Θεοτόκου, πρὸς τὸ, Τὴν τιμιωτέραν.

Ὕδωρ τὸ ζωήρρυτον τῆς πηγῆς, μάννα τὸ προχέον, τὸν ἀθάνατον δροσισμὸν, τὸ νέκταρ τὸ θεῖον, τὴν ξένην ἀμβροσίαν, τὸ μέλι τὸ ἐκ πέτρας, πίστει τιμήσωμεν.



## Νικηφόρου Ἱερομονάχου ἐκ τῆς νέας Μονῆς.

### Ἰδιόμελα. Ἦχος α'.

Ὡς θαυμαστά σου τὰ τεράστια Πανύμνητε, τῆς γὰρ προβατικῆς πηγῆς σου ὤφθησαν ὑπέρτερα. Ἐκείνη γὰρ ἕνα καὶ μόνον ἐτησίως ὑγιῆ ἐποίει, τῶν δὲ ἐνταῦθα πιστῶς προστρεχόντων, οὐδεὶς σκυθρωπάζων ἀπέρχεται· πάντες οὖν ὑγιεῖς γινόμενοι τὴν εὐχαριστίαν σοὶ τῇ χορηγῷ ἀπονέμουσι τῶν ἰάσεων· δι' ὃ ἄχραντε ἀπείρανδρε Θεογεννήτρια, μὴ παύσῃ πρεσβεύουσα ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Ἡ ἀξιωθεῖσα ὡς σταγόνα δέξασθαι ἐν τῇ μήτρᾳ σου συγκαταβάντα τὸν ὑπεράγαθον Θεὸν, πηγὴν ἐδωρήσω ἡμῖν χαρίσματα ἰαμάτων βρύουσαν, ἰωμένην ψυχικῶν παθημάτων, καὶ σωματικῶν ἀλγηδόνων, τοὺς δούλους σου τοὺς θερμῇ τῇ πίστει ταύτῃ προστρέχοντας.

Εὐφράνθητε λαοὶ, καὶ σκιρτήσατε, καὶ χορευέτω τὰ τῶν πιστῶν συστήματα· καὶ γὰρ ἡ Πηγὴ τῆς ζωῆς, ἡ Θεοτόκος Μαρία ὁ ἔνδροσος πόκος, Πηγὴν ἡμῖν ἁγιάσματος ἐδωρήσατο, ἐξ ἧς ἀρυόμενοι τὰς ἰάσεις λαμβάνομεν, ψυχῆς ὁμοῦ τε καὶ σώματος· δι' ὃ πανηγυρίζοντες ταύτην μεγαλύνομεν.

Ἐπὶ τῇ πηγῇ σου Θεοτόκε, Βασιλεῖς καὶ ἄρχοντες, ἱερεῖς ἀρχιερεῖς, καὶ πλήθη πιστῶν ζεούσῃ πίστει, καὶ βεβαίαις ἐλπίσι προστρέχουσιν, ἕκαστος οὗ χρήζει λαμβάνων, ὁ μὲν ψυχῆς, ὁ δὲ σώματος ῥῶσιν καὶ ἁγιασμὸν, ἐν ἀμφοτέροις φέρων ἀπέρχεται, δοξάζων καὶ εὐλογῶν σέ τε καὶ τὸν ἐκ σοῦ ἀρρήτως γεννηθέντα, καὶ Θεοτόκον σε ἀναδείξαντα.

### Ἦχος β'.

Ἡ τῶν οὐρανῶν πλατυτέρα, καὶ τῶν χερουβικῶν θρόνων ἁγιώτατος θρόνος, ὁ πόκος ὁ ἔνδροσος, ἡ τοῦ Ἀαρὼν βλαστήσασα ῥάβδος, τὸ ἄνθος τὸ ἀμάραντον, τὸ ἀλατόμητον ὄρος, ἡ σκηνὴ ἡ ἔνθεος, ἡ πύλη, ἣν μόνος διώδευσεν ὁ θεάνθρωπος Ἰησοῦς, ἡ πηγὴ τῆς ζωῆς ἡ ἀέναος, ἡ Θεοτόκος

Μαρία, σήμερον ἀγγελικαῖς δορυφορουμένη χοροστασίαις, ἀοράτως ἐνταῦθα πάρεστι, δεχομένη παρ' ἡμῶν τὸν ὕμνον, καὶ παρέχουσα ἡμῖν εἰρήνην καὶ μέγα ἔλεος.

Ἦχος δ'.

Τὸ χριστώνυμον πλήρωμα, συνελθόντες ἀγαλλιασώμεθα· ἡ γὰρ Παρθένος Μαρία, ἡ τὸν κτίστην τοῦ παντὸς ἀρρήτως σωματώσασα, ἀοράτως ἐνταῦθα πάρεστιν, ἁγιασμὸν ἀφιεῖσα τοῖς ὕδασιν, αὐτὴ καὶ ἡμῖν δωρουμένη δι' αὐτῶν ἰάσεις παθῶν ἀνιάτων, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Δημητρίου Ἰδιόμελα.

Δόξα καὶ νῦν. Ἦχος πλ. δ'.

Αἰσχυναίσθωσαν πάντες οἱ Θεοτόκον σε μὴ ὁμολογοῦντες, καὶ τὰ ἀπύλωτα αὐτῶν ἐμφραχθήτω στόματα, τὰ θεῖα καὶ παράδοξά σου ὁρῶντες θαυμάσια. Σαλπισάτωσαν, εὐφραινέσθωσαν καὶ πνευματικῶς χορευέτωσαν, ὅσοι ἀνευφημοῦντές σε δοξάζουσι θεογεννήτριαν καὶ παρθένον ἀληθῶς· καὶ γὰρ ὁ τοῦ Θεοῦ υἱὸς καὶ λόγος ἐν σοὶ σκηνώσας, καὶ ἐκ τῶν σῶν ἁγνῶν αἱμάτων ἡμῖν ὁμοιοπαθὲς περιβαλλόμενος σῶμα, ζωοδόχον πηγήν σε ἀνέδειξεν, ἁγιασμοῦ ῥεῖθρα πηγάζουσαν πᾶσι τοῖς ἐν πίστει σε ἐπικαλουμένοις, καὶ αἰτοῦσι παρὰ σοῦ σωτηρίαν καὶ μέγα ἔλεος.

Εἰς τοὺς αἴνους. Δόξα καὶ νῦν. Ἦχος πλ. δ'.

Τὴν ζωοδόχον πηγὴν καὶ ἀέναον κόρην θαυμάτων παραδόξων, τὴν Θεοτόκον Μαρίαν ἀνυμνήσωμεν λέγοντες· χαῖρε τῶν προφητικῶν προρρήσεων ἡ ἐκπλήρωσις, τῶν ἀποστολικῶν κηρυγμάτων ἡ βεβαίωσις, ἀρχιερέων ἡ δόξα, ἱερέων ἡ καλλονή. Μαρτύρων τὸ ἀγαλλίασμα, ὁσίων τὸ ἐγκαλλώπισμα, ἀσθενούντων ἡ ῥῶσις, ὀρφανῶν προστασία, καὶ πενήτων πλοῦτος ἀκένωτος, καὶ πάντων πιστῶν τὸ ῥεῖθρον ἀληθῶς τὸ ἀθάνατον· τὸ πᾶσι πηγάζον ξένα καὶ παράδοξα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΤΗ Η' ΤΟΥ ΜΗΝΟΣ ΣΕΠΤΕΜΒΡΙΟΥ,

## Τὸ Γενέθλιον τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου.

### ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ.

Μετὰ τὸν Προοιμιακόν, τοῦ Μακάριος ἀνήρ, τὴν ά. στάσιν. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν Στίχους ς' καὶ ψάλλομεν τὰ παρόντα ἰδιόμελα.

Ἦχος πλ. β'. Σεργίου.

Σήμερον, ὁ τοῖς νοεροῖς θρόνοις ἐπαναπαυόμενος Θεός, θρόνον ἅγιον ἐπὶ γῆς ἑαυτῷ προητοίμασεν· ὁ στερεώσας ἐν σοφίᾳ τοὺς οὐρανούς, οὐρανὸν ἔμψυχον, ἐν φιλανθρωπίᾳ κατεσκεύασεν· ἐξ ἀκάρπου γὰρ ῥίζης, φυτὸν ζωηφόρον, ἐβλάστησεν ἡμῖν τὴν Μητέρα αὐτοῦ. Ὁ τῶν θαυμασίων Θεός, καὶ τῶν ἀνελπίστων ἐλπίς, Κύριε, δόξα σοι.

Ὁ αὐτός.

Αὕτη ἡμέρα Κυρίου, ἀγαλλιᾶσθε λαοί· ἰδοὺ γὰρ τοῦ φωτὸς ὁ νυμφών, καὶ ἡ βίβλος τοῦ λόγου τῆς ζωῆς, ἐκ γαστρὸς προελήλυθε· καὶ ἡ κατὰ ἀνατολὰς πύλη ἀποκυηθεῖσα προσμένει τὴν εἴσοδον τοῦ Ἱερέως τοῦ μεγάλου, μόνη καὶ μόνον εἰσάγουσα Χριστὸν εἰς τὴν οἰκουμένην, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Εἰ καὶ θείῳ βουλήματι, περιφανεῖς στεῖραι γυναῖκες ἐβλάστησαν, ἀλλὰ πάντων ἡ Μαρία τῶν γεννηθέντων, θεοπρεπῶς ὑπερέλαμψεν· ὅτι καὶ ἐξ ἀγόνου παραδόξως τεχθεῖσα μητρός, ἔτεκεν ἐν σαρκὶ τὸν ἁπάντων Θεόν, ὑπὲρ φύσιν ἐξ ἀσπόρου γαστρός· ἡ μόνη πύλη τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, ἣν διελθών, κεκλεισμένην διεφύλαξε· καὶ πάντα σοφῶς οἰκονομή-

σας, ὡς οἶδεν αὐτός, πᾶσι τοῖς ἀνθρώποις σωτηρίαν ἀπειργάσατο.

Ὁ αὐτός.

Στεφάνου Ἁγιοπολίτου.

Σήμερον στειρωτικαὶ πύλαι ἀνοίγονται, καὶ πύλη παρθενικὴ θεία προέρχεται. Σήμερον καρπογονεῖν ἡ χάρις ἀπάρχεται, ἐμφανίζουσα τῷ κόσμῳ Θεοῦ Μητέρα, δι' ἧς τὰ ἐπίγεια τοῖς οὐρανοῖς συνάπτεται, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Σήμερον τῆς παγκοσμίου χαρᾶς τὰ προοίμια· σήμερον ἔπνευσαν αὖραι, σωτηρίας πρoάγγελοι· ἡ τῆς φύσεως ἡμῶν διαλέλυται στείρωσις· ἡ γὰρ στεῖρα μήτηρ δείκνυται, τῆς παρθενευούσης μετὰ τόκον τοῦ κτίσαντος, ἐξ ἧς τὸ ἀλλότριον οἰκειοῦται ὁ φύσει Θεός, καὶ τοῖς πλανηθεῖσι διὰ σαρκὸς σωτηρίαν ἀπεργάζεται, Χριστὸς ὁ φιλάνθρωπος, καὶ λυτρωτὴς τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Σήμερον ἡ στεῖρα Ἄννα τίκτει θεόπαιδα, τὴν ἐκ πασῶν τῶν γενεῶν προεκλεχθεῖσαν, εἰς κατοίκησιν τῷ παμβασιλεῖ καὶ Κτίστῃ Χριστῷ τῷ Θεῷ, εἰς ἐκπλήρωσιν τῆς θείας οἰκονομίας· δι' ἧς ἀνεπλάσθημεν οἱ γηγενεῖς, καὶ ἀνεκαινίσθημεν ἐκ τῆς φθορᾶς, πρὸς ζωὴν τὴν ἄληκτον.

Δόξα καὶ νῦν, ὁ αὐτός. Σεργίου.

Σήμερον, ὁ τοῖς νοεροῖς θρόνοις ἐπαναπαυόμενος Θεός, θρόνον ἅγιον ἐπὶ γῆς ἑαυτῷ προητοίμασεν· ὁ στερεώσας ἐν σοφίᾳ τοὺς οὐρανούς, οὐρανὸν ἔμψυχον, ἐν φιλανθρωπίᾳ κατεσκεύασεν· ἐξ ἀκάρπου γὰρ ῥίζης, φυτὸν ζωηφόρον, ἐβλάστησεν ἡμῖν τὴν Μητέρα αὐτοῦ. Ὁ τῶν θαυμασίων Θεὸς καὶ τῶν ἀνελπίστων ἐλπίς, Κύριε, δόξα σοι.

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἐπορεύθη εἰς Χαρράν, καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος. Καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθη-



κε πρὸς κεφαλὴν αὐτοῦ· καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ ἐνυπνιάσθη. Καὶ ἰδού, κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν· καὶ οἱ Ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτῆς· ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ' αὐτῆς, καὶ εἶπεν· Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ τοῦ Πατρός σου, καὶ ὁ Θεὸς Ἰσαάκ, μὴ φοβοῦ· Ἡ γῆ, ἐφ' ἧς σὺ καθεύδεις ἐπ' αὐτῆς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου. Καὶ ἔσαι τὸ σπέρμα σου, ὡς ἡ ἄμμος τῆς γῆς, καὶ πλατυνθήσεται ἐπὶ Θάλασσαν, καὶ Λίβα, καὶ Βοῤῥᾶν, καὶ ἐπὶ Ἀνατολάς· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου. Καὶ ἰδού, ἐγὼ μετὰ σοῦ διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς· καὶ ἀποστρέψω σε εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλίπω, ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι. Καὶ ἐξηγέρθη Ἰακὼβ ἀπὸ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπεν· Ὅτι ἔστι Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν. Καὶ ἐφοβήθη, καὶ εἶπεν· Ὡς φοβερὸς ὁ τόπος οὗτος! οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ.

Προφητείας Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα.

Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης καὶ ἐπέκεινα, ποιήσουσιν οἱ Ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ τοῦ σωτηρίου ὑμῶν· καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος Κύριος. Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν Ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ ἀνατολάς, καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρός με· Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς, ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ εἰσελεύσεται δι' αὐτῆς καὶ ἔσται κεκλεισμένη. Διότι ὁ ἡγούμενος οὗτος κάθηται ἐπ' αὐτήν, τοῦ φαγεῖν ἄρτον. Κατὰ τὴν ὁδὸν τοῦ Αἰλὰμ τῆς πύλης εἰσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. Καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς Βοῤῥᾶν, κατέναντι τοῦ οἴκου· καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἑπτά. Ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. Ἀπέστειλε τοὺς ἑαυτῆς δούλους, συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος ἐπὶ κρατῆρα, λέγουσα· Ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρός με. Καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν. Ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν. Ἀπολίπετε ἀφροσύνην, καὶ ζήσεσθε· καὶ ζητήσατε φρόνησιν, ἵνα βιώσητε, καὶ κατορθώσητε σύνεσιν ἐν γνώσει. Ὁ παιδεύων κακούς, λήψεται ἑαυτῷ ἀτιμίαν. Ἐλέγχων δὲ τὸν ἀσεβῆ, μωμήσεται ἑαυτόν· οἱ γὰρ ἔλεγχοι τῷ ἀσεβεῖ μώλωπες αὐτῷ. Μὴ ἔλεγχε κακούς, ἵνα μὴ μισήσωσί σε· ἔλεγχε σοφόν, καὶ ἀγαπήσει σε· Δίδου σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται· γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι. Ἀρχὴ σοφίας, φόβος Κυρίου· καὶ βουλὴ Ἁγίων σύνεσις. Τὸ δὲ γνῶναι νόμον διανοίας ἐστὶν ἀγαθῆς. Τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς.

Εἰς τὴν Λιτήν. Στιχηρὰ Ἰδιόμελα,
Ἦχος ά. Στεφάνου Ἁγιοπολίτου.

Ἡ ἀπαρχὴ τῆς ἡμῶν σωτηρίας, λαοὶ σήμερον γέγονεν· ἰδοὺ γὰρ ἡ προορισθεῖσα ἀπὸ γενεῶν ἀρχαίων, Μήτηρ καὶ Παρθένος, καὶ δοχεῖον Θεοῦ, ἐκ στείρας γεννηθῆναι προέρχεται· ἄνθος ἐκ τοῦ Ἰεσσαὶ καὶ ἐκ τῆς ῥίζης αὐτοῦ ῥάβδος ἐβλάστησεν. Εὐφραινέσθω Ἀδὰμ ὁ προπάτωρ, καὶ ἡ Εὔα ἀγαλλιάσθω χαίρουσα· ἰδοὺ γὰρ ἡ οἰκοδομηθεῖσα ἐκ πλευρᾶς τοῦ Ἀδάμ, τὴν θυγατέρα καὶ ἀπόγονον, μακαρίζει ἐμφανῶς· ἐτέχθη μοι γάρ φησι λύτρωσις, δι' ἧς ἐκ τῶν δεσμῶν τοῦ ᾅδου ἐλευθερωθήσομαι. Ἀγαλλιάσθω ὁ Δαυῒδ κρούων τὴν κινύραν, καὶ εὐλογείτω τὸν Θεόν· ἰδοὺ γὰρ ἡ Παρθένος πρόεισιν ἐκ πέτρας ἀγόνου, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'.

Δεῦτε φιλοπάρθενοι πάντες, καὶ τῆς ἁγνείας ἐρασταί· δεῦτε ὑποδέξασθε πόθῳ, τῆς παρθενίας τὸ καύχημα· ἐκ πέτρας βλυστάνουσαν στερεᾶς, τὴν Πηγὴν τῆς ζωῆς· καὶ ἐκ τῆς ἀτε-



κνούσης τὴν βάτον τοῦ ἀΰλου πυρός, τοῦ καθαίροντος, καὶ φωτίζοντος τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός, Ἀνατολίου.

Τίς ὁ ἦχος τῶν ἑορταζόντων γίνεται; Ἰωακεὶμ καὶ Ἄννα πανηγυρίζει μυστικῶς, Συγχάρητέ μοι λέγοντες, Ἀδὰμ καὶ Εὔα σήμερον· ὅτι τοῖς πάλαι παραβάσει κλείσασι Παράδεισον, καρπὸς εὐκλεέστατος ἡμῖν ἐδόθη, ἡ θεόπαις Μαρία, ἀνοίγουσα τούτοις πᾶσι τὴν εἴσοδον. Ὁ αὐτός.

Ἡ προορισθεῖσα παντάνασσα, Θεοῦ κατοικητήριον, ἐξ ἀκάρπου σήμερον νηδύος πρόηκται, τῆς Ἄννης ἠγλαϊσμένης, τῆς ἀϊδίου οὐσίας τὸ θεῖον τέμενος· δι' ἧς ἰταμὸς Ἅδης καταπεπάτηται, καὶ παγγενὴ Εὔα ἐν ἀσφαλεῖ ζωῇ εἰσοικίζεται· ταύτῃ ἐπαξίως ἐκβοήσωμεν· Μακαρία σὺ ἐν γυναιξί, καὶ ὁ καρπὸς τῆς κοιλίας σου εὐλογημένος.

Δόξα καὶ νῦν. Ἦχος πλ. δ'. Σεργίου Ἁγιοπολίτου.

Ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν σαλπίσωμεν πνευματικῇ κιθάρᾳ· ἡ γὰρ ἐκ σπέρματος Δαυῒδ σήμερον τίκτεται, ἡ Μήτηρ τῆς ζωῆς, τὸ σκότος λύουσα, τοῦ Ἀδὰμ ἡ ἀνάπλασις, καὶ τῆς Εὔας ἡ ἀνάκλησις, καὶ τῆς ἀφθαρσίας ἡ πηγή, τῆς φθορᾶς ἀπαλλαγή, δι' ἧς ἡμεῖς ἐθεώθημεν, καὶ τοῦ θανάτου ἐλυτρώθημεν· καὶ βοήσωμεν αὐτῇ σὺν τῷ Γαβριὴλ οἱ πιστοί. Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, διὰ σοῦ χαριζόμενος ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον, Στιχηρὰ Ἰδιόμελα.
Ἦχος δ'. Γερμανοῦ Πατριάρχου.

Ἡ παγκόσμιος χαρὰ ἐκ τῶν δικαίων ἀνέτειλεν ἡμῖν, ἐξ Ἰωακεὶμ καὶ τῆς Ἄννης, ἡ πανύμνητος Παρθένος, ἥτις δι' ὑπερβολὴν ἀγαθότητος, ναὸς Θεοῦ ἔμψυχος γίνεται, καὶ μόνη κατὰ ἀλήθειαν Θεοτόκος γνωρίζεται· Αὐτῆς ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, τῷ κόσμῳ τὴν εἰρήνην κατάπεμψον, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Στίχ. Ἄκουσον θύγατερ, καὶ ἴδε.

Δι' Ἀγγέλου προρρήσεως, γόνος πάνσεπτος, ἐξ Ἰωακεὶμ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

καὶ τῆς Ἄννης, τῶν Δικαίων σήμερον προῆλθες Παρθένε, οὐρανὸς καὶ θρόνος Θεοῦ, καὶ δοχεῖον καθαρότητος, τὴν χαρὰν προμηνύουσα παντὶ τῷ κόσμῳ, τῆς ζωῆς ἡμῶν πρόξενε· κατάρας ἀναίρεσις, εὐλογίας ἡ ἀντίδοσις. Διὸ ἐν τῇ γεννήσει σου Κόρη θεόκλητε, τὴν εἰρήνην αἴτησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Ὁ αὐτός.

Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν.

Στεῖρα ἄγονος ἡ Ἄννα, σήμερον χεῖρας κροτείτω φαιδρῶς· λαμπροφορείτω τὰ ἐπίγεια· βασιλεῖς σκιρτάτωσαν· ἱερεῖς ἐν εὐλογίαις εὐφραινέσθωσαν· ἑορταζέτω ὁ σύμπας κόσμος· ἰδοὺ γὰρ ἡ Βασίλισσα, καὶ ἄμωμος νύμφη τοῦ Πατρὸς, ἐκ τῆς ῥίζης τοῦ Ἰεσσαὶ ἀνεβλάστησεν. Οὐκ ἔτι γυναῖκες ἐν λύπαις τέξονται τέκνα· ἡ χαρὰ γὰρ ἐξήνθησε, καὶ ἡ ζωὴ τῶν ἀνθρώπων ἐν κόσμῳ πολιτεύεται. Οὐκ ἔτι τὰ δῶρα τοῦ Ἰωακεὶμ ἀποστρέφονται· ὁ θρῆνος γὰρ τῆς Ἄννης εἰς χαρὰν προεκρίθη, Συγχάρητέ μοι λεγούσης, πᾶς ἐκλεκτὸς Ἰσραήλ· ἰδοὺ γὰρ δέδωκέ μοι Κύριος τὸ ἔμψυχον παλάτιον τῆς θείας δόξης αὐτοῦ, εἰς κοινὴν εὐφροσύνην καὶ χαρὰν, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν. Δόξα, καὶ νῦν.

Ἦχος πλ. δ'. Σεργίου Ἁγιοπολίτου.

Δεῦτε ἅπαντες πιστοὶ, πρὸς τὴν Παρθένον δράμωμεν· ἰδοὺ γὰρ γεννᾶται ἡ πρὸ γαστρὸς προορισθεῖσα τοῦ Θεοῦ ἡμῶν Μήτηρ, τὸ τῆς παρθενίας κειμήλιον, ἡ τοῦ Ἀαρὼν βλαστήσασα ῥάβδος ἐκ τῆς ῥίζης τοῦ Ἰεσσαὶ, τῶν Προφητῶν τὸ κήρυγμα, καὶ τῶν Δικαίων, Ἰωακεὶμ καὶ Ἄννης τὸ βλάστημα. Γεννᾶται τοίνυν, καὶ ὁ κόσμος σὺν αὐτῇ ἀνακαινίζεται. Τίκτεται, καὶ ἡ Ἐκκλησία τὴν ἑαυτῆς εὐπρέπειαν καταστολίζεται. Ὁ ναὸς ὁ ἅγιος, τὸ τῆς Θεότητος δοχεῖον, τὸ παρθενικὸν ὄργανον, ὁ βασιλικὸς θάλαμος, ἐν ᾧ τὸ παράδοξον τῆς ἀπορρήτου ἑνώσεως τῶν συνελθουσῶν ἐπὶ Χριστοῦ φύσεων, ἐτελεσιουργήθη μυστήριον· ὃν προσκυνοῦντες ἀνυμνοῦμεν, τὴν τῆς Παρθένου πανάμωμον γέννησιν.





Ἀπολυτίκιον. Ἦχος δ'.

Ἡ γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν· καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν· καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τὴν Α' Στιχολογίαν, Κάθισμα,
Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἀναβόησον Δαυὶδ, τί ὤμοσέ σοι ὁ Θεός; Ἅ μοι ὤμοσε φησὶ, καὶ ἐκπεπλήρωκεν ἰδοὺ, ἐκ τοῦ καρποῦ τῆς κοιλίας μου δοὺς τὴν Παρθένον· ἐξ ἧς ὁ πλαστουργὸς, Χριστὸς ὁ νέος Ἀδὰμ, ἐτέχθη βασιλεὺς ἐπὶ τοῦ θρόνου μου· καὶ βασιλεύει σήμερον, ὁ ἔχων τὴν βασιλείαν ἀσάλευτον. Ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Δόξα, καὶ νῦν, τὸ αὐτό.

Μετὰ τὴν Β'. Στιχολογίαν, Κάθισμα, Ὅμοιον.

Ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἐξ ὀσφύος τοῦ Δαυὶδ, ἡ θεόπαις Μαριὰμ, τίκτεται σήμερον ἡμῖν, καὶ νεουργεῖται ἡ σύμπασα, καὶ θεουργεῖται. Συγχάρητε ὁμοῦ, ὁ οὐρανὸς καὶ ἡ γῆ· αἰνέσατε αὐτὴν, αἱ πατριαὶ τῶν ἐθνῶν· Ἰωακεὶμ εὐφραίνεται, καὶ Ἄννα πανηγυρίζει κραυγάζουσα· Ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Δόξα, καὶ νῦν, τὸ αὐτό.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. δ'.
Τὸ προσταχθὲν μυστικῶς.

Ἀγαλλιάσθω οὐρανὸς, γῆ εὐφραινέσθω· ὁ τοῦ Θεοῦ γὰρ οὐρανὸς, ἐν γῇ ἐτέχθη, ἡ Θεόνυμφος αὕτη ἐξ ἐπαγγελίας. Ἡ στεῖρα βρέφος θηλάζει τὴν Μαριάμ· καὶ χαίρει ἐπὶ τῷ τόκῳ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἰωακείμ. Ῥάβδος λέγων ἐτέχθη μοι, ἐξ ἧς τὸ ἄνθος Χριστός, ἐβλάστησεν ἐκ ῥίζης Δαυΐδ. Ὄντως θαῦμα παράδοξον!

Δόξα, καὶ νῦν, τὸ αὐτό,

Οἱ Ἀναβαθμοί, τὸ Α'. Ἀντίφωνον τοῦ τετάρτου Ἤχου.

Προκείμενον, Ἦχος δ'.

Μνησθήσομαι τοῦ ὀνόματός σου.

Στίχ. Ἐξηρεύξατο ἡ καρδία μου.

Τὸ Πᾶσα πνοή.

Εὐαγγέλιον κατὰ Λουκᾶν. Ἀναστᾶσα Μαριάμ. Ὁ Ν'.

Δόξα. Ταῖς τῆς Θεοτόκου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα Στίχ. εἰς Ἦχον δ'. Ἐλέησόν με ὁ Θεός. Καὶ τὸ Ἰδιόμελον.
Ἡ παγκόσμιος χαρά. Ὅρα εἰς τὸν Στίχον.

Οἱ Κανόνες τοῦ Κυρίου Ἰωάννου μετὰ τῶν Εἱρμῶν εἰς ή. καὶ τοῦ Κυρίου Ἀνδρέου τὰ Τροπάρια εἰς ς'.

Ὁ Κανὼν τοῦ Κυρίου Ἰωάννου.

Ὠδὴ ά. Ἦχος β'. Ὁ Εἱρμός.

»Δεῦτε λαοὶ ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ, τῷ διελόντι » θάλασσαν, καὶ ὁδηγήσαντι, τὸν λαὸν ὃν ἀνῆκε, δουλείας Αἰ- » γυπτίων, ὅτι δεδόξασται.

Δεῦτε πιστοὶ Πνεύματι θείῳ γηθόμενοι, τὴν ἐξ ἀκάρπου σήμερον, ἐπιδημήσασαν, εἰς βροτῶν σωτηρίαν, ἀειπάρθενον Κόρην, ὕμνοις τιμήσωμεν.

Χαῖρε σεμνή, Μήτηρ καὶ δούλη Χριστοῦ τοῦ Θεοῦ, ἡ τῆς ἀρχαίας πρόξενος, μακαριότητος, τῶν ἀνθρώπων τῷ γένει, σὲ πάντες ἐπαξίως ὕμνοις δοξάζομεν.

Ἡ τῆς ζωῆς, τίκτεται σήμερον γέφυρα, δι' ἧς βροτοὶ ἀνάκλησιν τῆς καταπτώσεως, τῆς τοῦ Ἅδου εὑρόντες, Χριστὸν τὸν ζωοδότην, ὕμνοις δοξάζουσιν.

Ἕτερος κανὼν τοῦ Κυρίου Ἀνδρέου

Ὠδὴ ά. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

»Τῷ συντρίψαντι πολέμους, ἐν βραχίονι αὐτοῦ, καὶ διαβι-



» βάσαντι, τὸν Ἰσραὴλ ἐν Ἐρυθρᾷ θαλάσσῃ, ᾄσωμεν αὐτῷ » ὡς λυτρωτῇ ἡμῶν Θεῷ, ὅτι δεδόξασται.

Χορευέτω πᾶσα κτίσις, εὐφραινέσθω καὶ Δαυΐδ, ὅτι ἐκ φυλῆς αὐτοῦ, καὶ ἐκ τοῦ σπέρματος αὐτοῦ προῆλθε ῥάβδος, ἄνθος φέρουσα τὸν Κύριον, καὶ λυτρωτὴν τοῦ παντός.

Ἡ Ἁγία τῶν Ἁγίων, ἐν ἁγίῳ ἱερῷ, βρέφος ἀνατίθεται, ἀνατραφῆναι ἐκ χειρὸς Ἀγγέλου· πάντες οὖν πιστῶς συνεορτάσωμεν, ἐν τῇ γεννήσει αὐτῆς.

Στεῖρα ἄγονος ἡ Ἄννα, ἀλλ' οὐκ ἄτεκνος Θεῷ· ἤδη γὰρ προώριστο, ἐκ γενεῶν ἁγνῆς Παρθένου Μήτηρ· ὅθεν ὁ τῆς κτίσεως ἐβλάστησε, Κτίστης ἐν δούλου μορφῇ.

Σὲ τὴν ἄσπιλον ἀμνάδα, τὴν τὸ ἔριον Χριστῷ, μόνην ἐκ κοιλίας σου προσαγαγοῦσαν, τὴν ἡμῶν οὐσίαν, πάντες ἐκ τῆς Ἄννης τικτομένην σε, ὕμνοις γεραίρομεν. Δόξα.

Τρία ἄναρχα δοξάζω, τρία ἅγια ὑμνῶ, τρία συναΐδια, ἐν οὐσιότητι μιᾷ κηρύττω· εἷς γὰρ ἐν Πατρὶ Υἱῷ καὶ Πνεύματι, δοξολογεῖται Θεός. Καὶ νῦν Θεοτοκίον.

Τίς ἑώρακε παιδίον, ὃ οὐκ ἔσπειρε πατήρ, γάλακτι τρεφόμενον; ἢ ποῦ τεθέαται παρθένος Μήτηρ; ὄντως ὑπὲρ ἔννοιαν ἀμφότερα, Θεογεννῆτορ ἁγνή. Καταβασία.

»Σταυρὸν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ, τὴν Ἐρυ- » θρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι· τὴν δὲ ἐπιστρεπτικῶς, » Φαραὼ τοῖς ἅρμασι, κροτήσας ἥνωσεν, ἐπ' εὔρους διαγρά- » ψας, τὸ ἀήττητον ὅπλον· διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ » ἡμῶν ὅτι δεδόξασται. Ὠδὴ γ'. Ὁ Εἱρμός.

»Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁ- » μαρτίαν, καὶ τὸν φόβον σου ἐμφύτευσον, εἰς τὰς καρδίας » ἡμῶν τῶν ὑμνούντων σε.

Ἀμέμπτως τῷ Θεῷ πολιτευσάμενοι, τὴν πάντων ἐκύησαν σωτηρίαν, οἱ θεόφρονες γεννήτορες, τῆς τὸν Κτίστην τεκούσης, καὶ Θεὸν ἡμῶν.

Ὁ πᾶσι τὴν ζωὴν πηγάζων Κύριος, ἐκ στείρας προήγαγε

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τὴν Παρθένον· ἣν εἰσδῦναι κατηξίωσε, μετὰ τόκον φυλάξας ἀδιάφθορον.

Τῆς Ἄννης τὸν καρπὸν Μαρίαν σήμερον, τὴν βότρυν κυήσασαν ζωηφόρον, ὡς Θεοτόκον ἀνυμνήσωμεν, προστασίαν τε πάντων, καὶ βοήθειαν. Εἱρμὸς ἄλλος.

» Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου » ἐν Θεῷ μου, ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου, εὐ- » φράνθην ἐν σωτηρίῳ σου.

Εὐλογημένη ἡ κοιλία σου σώφρων Ἄννα· καρπὸν γὰρ ἤνθησε παρθενίας, τὴν ἀσπόρως τὸν τροφέα τῆς κτίσεως τεκοῦσαν καὶ λυτρωτὴν Ἰησοῦν.

Σὲ μακαρίζει ἀειπάρθενε πᾶσα κτίσις, ἐξ Ἄννης σήμερον γεννηθεῖσαν, τὴν ἐκ ῥίζης Ἰεσσαὶ ῥάβδον ἄχραντον, τὸ ἄνθος Χριστὸν βλαστήσασαν.

Σὲ ἀνωτέραν πάσης κτίσεως Θεοτόκε, δεικνύων ἄχραντε ὁ Υἱός σου, τὴν ἐξ Ἄννης μεγαλύνει σου Γέννησιν, καὶ πάντας εὐφραίνει σήμερον.

Ἀναπραφεῖσα εἰς τὰ Ἅγια τῶν Ἁγίων, Παρθένε ἄχραντε Θεοτόκε, ἀνωτέρα ἀνεδείχθης τῆς κτίσεως, τὸν Κτίστην σαρκὶ κυήσασα. Δόξα.

Σὲ προσκυνοῦμεν, Πάτερ ἄναρχε τῇ οὐσίᾳ, ὑμνοῦμεν ἄχρονον τὸν Υἱόν σου, καὶ τὸ Πνεῦμα συναΐδιον σέβομεν, ὡς ἕνα τὰ τρία φύσει Θεόν. Καὶ νῦν, Θεοτοκίον.

Τὸν φωτοδότην, καὶ ἀρχίζωον τῶν ἀνθρώπων, τεκοῦσα ἄχραντε Θεοτόκε, ἀνεδείχθης θησαυρὸς τῆς ζωῆς ἡμῶν, καὶ πύλη τοῦ ἀπροσίτου φωτός. Καταβασία.

» Ῥάβδος εἰς τύπον, τοῦ μυστηρίου παραλαμβάνεται· τῷ » βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα· τῇ στειρευούσῃ δὲ πρώην » Ἐκκλησίᾳ, νῦν ἐξήνθησε, ξύλον Σταυροῦ εἰς κράτος καὶ » στερέωμα. Ἡ Ὑπακοή, Ἦχος β'.

Πύλην ἀδιόδευτον· ὁ Προφήτης, μόνῳ τῷ Θεῷ ἡμῶν τηρουμένην, τὴν Ἁγίαν Παρθένον ἐκάλεσε· δι' αὐτῆς διῆλθεν ὁ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Κύριος, ἐξ αὐτῆς προῆλθεν ὁ Ὕψιστος, καὶ πάλιν ἐσφραγισμένην κατέλιπε, λυτρούμενος ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν.

Εἰ δὲ βούλει, εἰπὲ Κάθισμα,

Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἡ Παρθένος Μαριάμ, καὶ Θεοτόκος ἀληθῶς, ὡς νεφέλη τοῦ φωτός, σήμερον ἔλαμψεν ἡμῖν, καὶ ἐκ Δικαίων προέρχεται εἰς δόξαν ἡμῶν. Οὐκ ἔτι ὁ Ἀδὰμ κατακέκριται· ἡ Εὔα τῶν δεσμῶν ἠλευθέρωται· καὶ διὰ τοῦτο κράζομεν, βοῶντες ἐν παῤῥησίᾳ τῇ μόνῃ Ἁγνῇ· Χαρὰν μηνύει, ἡ γέννησίς σου, τῇ οἰκουμένῃ.

Δόξα, καὶ νῦν, τὸ αὐτό. Ὠδὴ δ'. Ὁ Εἱρμός.

» Εἰσακήκοα Κύριε, τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας, καὶ » ἐδόξασά σε μόνε φιλάνθρωπε.

Ἀνυμνοῦμέν σε Κύριε τὸν τοῖς πιστοῖς σωτήριον λιμένα, παρασχόντα πᾶσι τὴν σὲ κυήσασαν.

Σὲ θεόνυμφε καύχημα, πᾶσι Χριστὸς ἀνέδειξε καὶ κράτος, τοῖς ὑμνοῦσι πίστει σοῦ τὸ μυστήριον.

Ἀπειρόγαμε Δέσποινα, ταῖς σαῖς λιταῖς λυτρούμενοι πταισμάτων, εὐγνωμόνως πάντες σὲ μακαρίζομεν.

Εἱρμὸς ἄλλος.

» Ἀκήκοα Κύριε τὴν ἀκοήν σου καὶ ἐφοβήθην· ὅτι ἀῤῥή- » τῳ βουλῇ, Θεὸς ὢν ἀΐδιος, ἐκ τῆς Παρθένου προῆλθες σαρ- » κωθείς. Δόξα τῇ δόξῃ σου Χριστέ· δόξα τῇ δυνάμει σου.

Τὴν πάνσεπτον γέννησιν τῆς Θεοτόκου, ψαλμοῖς καὶ ὕμνοις, δοξολογοῦντες πιστοί, τὸν ἄψευστον, τὸν τῷ Δαυῒδ προομόσαντα καρπόν, ἐκ τῆς ὀσφύος παρασχεῖν, πίστει προσκυνήσωμεν.

Διήνοιξας Κύριε τὴν μήτραν Σάῤῥας, καρπὸν ἐν γήρᾳ τὸν Ἰσαὰκ παρασχών· ὁ αὐτὸς καὶ σήμερον, τῇ εὐσεβεῖ Ἄννῃ δέδωκας Σωτήρ, ἐκ μήτρας γόνιμον καρπὸν ἄσπιλον Μητέρα τὴν σήν.

Ἐπήκουσας Κύριε τῆς προσευχῆς μου, λεγέτω Ἄννα, ἐ-

παγγελίας καρπόν, παρασχών μοι σήμερον, τὴν ἐκ πασῶν γενεῶν καὶ γυναικῶν προορισθεῖσαν, εἰς ἁγνὴν ἄχραντον Μητέρα σου.

Συγχαίρει σοι σήμερον θεόφρον Ἄννα ἡ οἰκουμένη· τοῦ λυτρωτοῦ γὰρ αὐτῆς, τὴν Μητέρα ἤνθησας, τὴν ἐκ τῆς ῥίζης βλαστήσασαν Δαυΐδ, δυνάμεως ῥάβδον ἡμῖν, φέρουσαν τὸ ἄνθος Χριστόν. Δόξα.

Δοξάζω σε ἄναρχε Τριὰς, ἀμέριστε τῇ οὐσίᾳ, χερουβικῶς ἐκβοῶν, τῇ πηλίνῃ γλώσσῃ μου· Ἅγιος Ἅγιος Ἅγιος, ὁ ὢν καὶ διαμένων εἰς ἀεὶ, εἷς Θεὸς ἀΐδιος.

Καὶ νῦν, Θεοτοκίον.

Πεπλήρωνται Ἄχραντε, τῶν θεηγόρων αἱ προφητεῖαι, τῶν πιστῶς καλούντων σε, σκηνὴν καὶ πύλην καὶ ὄρος νοητὸν, βάτον καὶ ῥάβδον Ἀαρὼν, φυεῖσαν ἐκ ῥίζης Δαυΐδ.

Καταβασία.

»Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κα-
» τενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

»Ὁ σκιόγραφον ἀχλὺν, αἰνιγμάτων σκεδάσας, καὶ τῶν πι-
» στῶν ἐκβάσει τὰς ἀληθείας διὰ τῆς Θεόπαιδος, καταυγάσας
» τὰς καρδίας, καὶ ἡμᾶς τῷ φωτί σου Χριστὲ καθοδήγησον.

Ἀνυμνήσωμεν λαοὶ, τὴν τῶν πάντων αἰτίαν, τοῦ καθ' ἡμᾶς γενέσθαι τὸν αἴτιον· ἧς τὸν τύπον ἔχαιρον, ἀξιούμενοι Προφῆται, ἐναργῆ σωτηρίαν ἐκ ταύτης καρπούμενοι.

Τῆς ἀνίκμου ὁ βλαστὸς, ῥάβδου τοῦ Ἱερέως, τῷ Ἰσραὴλ ἐδήλωσε πρόκρισιν· καὶ νῦν τὴν λαμπρότητα, τῶν φυσάντων παραδόξως, δαδουχεῖ τὸ ἐκ στείρας πανένδοξον κύημα.

Εἱρμὸς ἄλλος.

»Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· Κύριε ὁ Θεὸς ἡ-
» μῶν, κτῆσαι ἡμᾶς· Κύριε, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ
» ὄνομά σου ὀνομάζομεν.

Ἄχραντός σου ἡ γέννησις, Παρθένε ἄχραντε· ἄφραστος



καὶ ἡ σύλληψις, καὶ ἡ ὠδὶς· ἄῤῥητος ὁ τόκος σου, νύμφη ἀνύμφευτε· Θεὸς γὰρ ἦν, ὅλον φορέσας ἐμέ.

Σήμερον εὐφραινέσθωσαν, Ἀγγέλων τάγματα, ᾄσμασι χορευέτωσαν οἱ ἐξ Ἀδάμ· ἐτέχθη γὰρ ῥάβδος, τὸ ἄνθος βλαστάνουσα, Χριστὸν τὸν μόνον λυτρωτὴν τοῦ Ἀδάμ.

Σήμερον Εὔα λέλυται τῆς καταδίκης, λέλυται καὶ ὁ Ἀδὰμ, τῆς ἀρχαίας ἀρᾶς, ἐπὶ τῇ γεννήσει τῇ σῇ βοῶν ἄχραντε· Ἐν σοὶ τῆς φθορᾶς ἐλυτρώθημεν.

Δόξα σοι τῷ δοξάσαντι τὴν στεῖραν σήμερον· ἔτεκε γὰρ τὴν ῥάβδον τὴν ἀειθαλῆ, ἐξ ἐπαγγελίας, ἐξ ἧς ἀνεβλάστησε Χριστὸς, τὸ ἄνθος τῆς ζωῆς ἡμῶν. Δόξα.

Ἄναρχον προσκυνοῦμέν σε Τριὰς ἀμέριστε, ἄκτιστον συναΐδιον καὶ συμφυῆ, ἐν μιᾷ οὐσίᾳ, τρισὶν ὑποστάσεσιν, ὑπερφυῶς κηρυττομένην Ἁγνήν. Καὶ νῦν Θεοτοκίον.

Γέγονεν ἡ κοιλία σου Ἁγία Τράπεζα· ἔμεινεν ἡ ἁγνεία σου ὥσπερ τὸ πρὶν, ἀσινὴς Παρθένε· Χριστὸς γὰρ ὁ ἥλιος, ὡς ἐκ παστοῦ νυμφίος ὤφθη ἐκ σοῦ. Καταβασία.

»Ὢ τρισμακάριστον ξύλον, ἐν ᾧ ἐτάθη Χριστὸς, ὁ Βασι-
» λεὺς καὶ Κύριος· δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν
» σοὶ δελεασθεὶς Θεῷ τῷ προσπαγέντι σαρκὶ, τῷ παρέχοντι
» τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν. Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

»Πρὸς Κύριον ἐκ κήτους ὁ Ἰωνᾶς ἐβόησε· Σύ με ἀνάγαγε,
» ἐκ πυθμένος Ἅδου δέομαι, ἵνα ὡς Λυτρωτῇ, ἐν φωνῇ αἰνέ-
» σεως, ἀληθείας τε πνεύματι θύσω σοι.

Πρὸς Κύριον ἐν θλίψει στειρώσεως, ἐβόησαν τῆς Θεομήτορος, οἱ θεόφρονες γεννήτορες, καὶ ταύτην γενεαῖς γενεῶν ἐκύησαν, εἰς κοινὴν σωτηρίαν καὶ καύχημα.

Ἐδέξαντο οὐράνιον δῶρον ἀξιόθεον, τῆς Θεομήτορος οἱ θεόφρονες γεννήτορες, αὐτῶν τῶν Χερουβὶμ ὑπέρτερον ὄχημα, τὴν τοῦ Λόγου καὶ Κτίστου λοχεύτριαν.

Εἱρμὸς ἄλλος.

»Ὡς ὕδατα θαλάσσης φιλάνθρωπε, τὰ κύματα τοῦ βίου

» χειμάζει με· ἀλλ' ὥσπερ τὸν Ἰωνᾶν ἐκ τοῦ κήτους, ἀνάγαγε
» ἐκ φθορᾶς τὴν ζωήν μου, εὔσπλαγχνε Κύριε.

Ὑμνοῦμεν τὴν ἁγίαν σου γέννησιν, τιμῶμεν καὶ τὴν ἄσπορον σύλληψιν, σοῦ νύμφη θεόνυμφε καὶ Παρθένε· σκιρτῶσι δὲ σὺν ἡμῖν Ἀγγέλων τάξεις, καὶ τῶν Ἁγίων ψυχαί.

Ἁγίαν τῶν Ἁγίων ὑπάρχουσαν, οἱ σώφρονες πατέρες σου ἄχραντε, ἀνέθεντό σε ἐν οἴκῳ Κυρίου, ἀνατραφῆναι σεμνῶς καὶ εἰς Μητέρα ἑτοιμασθῆναι αὐτῷ.

Αἱ στεῖραι καὶ μητέρες χορεύσατε· θαρσεῖτε καὶ σκιρτήσατε ἄγονοι· ἡ ἄτεκνος γὰρ στεῖρα, τὴν Θεοτόκον βλαστάνει· ἥτις λύσει τῶν ὠδίνων τὴν Εὔαν, καὶ τῆς ἀρᾶς τὸν Ἀδάμ.

Ἀκούω τοῦ Δαυὶδ μελῳδοῦντός σοι· Ἀχθήσονται παρθένοι ὀπίσω σου, ἀχθήσονται εἰς ναὸν Βασιλέως· καὶ σὺν αὐτῷ σε κἀγὼ θυγατέρα τοῦ Βασιλέως ὑμνῶ. Δόξα.

Ἐν σοὶ τὸ τῆς Τριάδος μυστήριον, ὑμνεῖται καὶ δοξάζεται ἄχραντε. Πατὴρ γὰρ ηὐδόκησε, καὶ ὁ Λόγος ἐσκήνωσεν ἐν ἡμῖν, καὶ θεῖον Πνεῦμα σοὶ ἐπεσκίασε.

Καὶ νῦν. Θεοτοκίον.

Χρυσοῦν θυμιατήριον γέγονας· τὸ πῦρ γὰρ ἐν γαστρί σου ἐσκήνωσεν, ὁ Λόγος ἐκ Πνεύματος τοῦ Ἁγίου, καὶ ἐν ἀνθρώπου μορφῇ ἐν σοὶ ὡράθη, Θεογεννῆτορ ἁγνή.

Καταβασία.

» Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς σταυροει-
» δῶς διεκπετάσας, τὸ σωτήριον πάθος προδιετύπου σαφῶς·
» ὅθεν τριήμερος ἐκδύς, τὴν ὑπερκόσμιον Ἀνάστασιν ὑπεζω-
» γράφισε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ
» τριημέρῳ ἐγέρσει, τὸν κόσμον φωτίσαντος.

Κοντάκιον. Ἦχος δ'. Αὐτόμελον.

Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου· αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς



τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι· Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Ὁ Οἶκος.

Ἡ προσευχὴ ὁμοῦ καὶ στεναγμός, τῆς στειρώσεως καὶ ἀτεκνώσεως Ἰωακεὶμ τε καὶ Ἄννης, εὐπρόσδεκτος, καὶ εἰς ὦτα Κυρίου ἐλήλυθε, καὶ ἐβλάστησαν καρπὸν ζωηφόρον τῷ κόσμῳ· ὁ μὲν γὰρ προσευχὴν ἐν τῷ ὄρει ἐτέλει, ἡ δὲ ἐν παραδείσῳ ὄνειδος φέρει· ἀλλὰ μετὰ χαρᾶς, ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Συναξάριον.

Τῇ Η'. τοῦ αὐτοῦ μηνός, Τὸ Γενέθλιον τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.

Στίχοι.

Πάσας ἀληθῶς, Ἄννα, νικᾷς μητέρας,
Μήτηρ ἕως ἂν σὴ γένηται θυγάτηρ.
Ἐξάγαγε πρὸς φῶς Θεομήτορα ὀγδόῃ Ἄννα.

Ἧς ὁ πατὴρ Ἰωακείμ, ἐκ βασιλικῆς φυλῆς εἷλκε τὸ γένος. Οὗτος εἰ καὶ διπλᾶ τὰ δῶρα αὐτοῦ τῷ Θεῷ προσέφερεν, ὡς φιλόθεος καὶ πλούσιος, ἀλλὰ τὴν ἀπαιδίαν ὠνειδίζετο. Ἐπὶ τούτῳ δηχθεὶς τὴν καρδίαν, αὐτὸς μὲν ἐν τῷ ὄρει, ἡ δὲ τούτου σύνευνος Ἄννα, ἐν τῷ παραδείσῳ δάκρυσι τὸν Θεὸν ἱκέτευον. Ὃς καὶ παρέσχεν αὐτοῖς καρπὸν κοιλίας ἅγιον, τὴν ὑπεραγίαν Θεοτόκον. Ἵνα δὲ καὶ τῆς Ἄννης ἐξ ἑκατέρων τῶν μερῶν ἴδωμεν τὰ γνωρίσματα, τὸ ἀκριβὲς διηγήσομαι.

Εἰκοστὸς τρίτος ἀπὸ γένους Δαυὶδ καὶ Σολομῶντος εὑρίσκεται ὁ Ματθάν, ὃς ἔγημε Μαρίαν ἐκ τῆς Ἰούδα φυλῆς, καὶ ἐγέννησεν Ἰακώβ, τὸν πατέρα Ἰωσὴφ τοῦ τέκτονος· καὶ θυγατέρας τρεῖς· Μαρίαν, Σωβὴν καὶ Ἄνναν. Καὶ ἡ μὲν Μαρία γεννᾷ Σαλώμην τὴν μαῖαν· ἡ δὲ Σωβὴ γεννᾷ τὴν Ἐλισάβετ· ἡ δὲ Ἄννα γεννᾷ τὴν Θεοτόκον· ὥστ' εἶναι τὴν Θεοτόκον ἐγγόνην Ματθὰν καὶ Μαρίας τῆς γυναικὸς αὐτοῦ· τὴν δὲ Ἐλισάβετ καὶ τὴν Σαλώμην, ἀνεψιὰς μὲν τῆς Ἄννης, ἐξαδέλφας δὲ τῆς Θεοτόκου.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι αὐτάδελφοι Ῥοῦφος καὶ Ῥουφιανὸς ξίφει τελειοῦνται.

Στίχ. Κλίνων ἑαυτὸν Ῥουφιανὸς τῷ ξίφει,
Μένω σε, φησί, Ῥοῦφε, μὴ μέλλῃς, ἕπου.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Σεβῆρος ξίφει τελειοῦται.

Στίχ. Ἕτοιμός εἰμι πρὸς τὸ πᾶν οἴσειν πάθος.
Σεβῆρος εἶπε· καὶ τί πρός με τὸ ξίφος;

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Ἀρτεμίδωρος πυρὶ τελειοῦται.

Στίχ. Ἀρτεμίδωρος ὡς καθάλλεσθαι σθένει.
Καὶ τοῦ πυρὸς φλέγοντος ἔργῳ δεικνύει.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

» Βάτος ἐν ὄρει πυράφλεκτος, καὶ δροσοβόλος κάμινος » Χαλδαϊκή, σαφῶς προγράφει σε Θεόνυμφε· τὸ γὰρ θεῖον » ἄϋλον ἐν ὑλικῇ γαστρί, πῦρ ἀφλέκτως ἐδέξω· διὸ τῷ ἐκ σοῦ » τεχθέντι κράζομεν· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Σοῦ ταῖς ἀΰλοις ἐμφάσεσιν, ὁ νομοθέτης εἴργετο κατανοεῖν, τὸ μέγα πάνσεμνε μυστήριον, μὴ φρονεῖν χαμαίζηλα συμβολικῶς παιδευόμενος ποτέ· διὸ ἐκπλαγεὶς τὸ θαῦμα, ἔλεγεν· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὄρος καὶ πύλην οὐράνιον, καὶ νοητήν σε κλίμακα θεοπρεπῶς, χορὸς ὁ θεῖος προηγόρευσε· σοῦ γὰρ λίθος τέτμηται, οὐχ ὑποστὰς ἐγχειρίδιον ἀνδρός· καὶ πύλην, δι' ἧς διῆλθε Κύριος, τῶν θαυμασίων Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Εἱρμὸς ἄλλος.

» Τῶν Χαλδαίων ἡ κάμινος, πυρὶ φλογιζομένη, ἐδροσίζετο » Πνεύματος, Θεοῦ ἐπιστασίᾳ· οἱ Παῖδες ὑπέψαλλον· Εὐλογη» τὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἑορτάζομεν ἄχραντε, καὶ πιστῶς προσκυνοῦμεν, τὴν ἁγίαν σου γέννησιν, τὴν ἐξ ἐπαγγελίας· δι' ἧς ἐλυτρώθημεν, τῆς παλαιᾶς τοῦ Ἀδάμ, νῦν ἀποφάσεως.

Νῦν ἡ Ἄννα εὐφραίνεται, καὶ βοᾷ καυχωμένη· Στεῖρα οὖσα γεγέννηκα, τοῦ Θεοῦ τὴν Μητέρα, δι' ἧς τὸ κατάκριμα, τῆς Εὔας λέλυται, καὶ ἡ ἐν λύπαις ὠδίς.



Ὁ Ἀδὰμ ἠλευθέρωται, καὶ ἡ Εὔα χορεύει, καὶ βοῶσιν ἐν πνεύματι, πρὸς σὲ τὴν Θεοτόκον· Ἐν σοὶ ἐλυτρώθημεν τῆς ἀρχεγόνου ἀρᾶς, ἐπιφανέντος Χριστοῦ.

Στεῖραι ἄγονοι σπεύσατε, ψυχαὶ ἠτεκνωμέναι, ὅτι Ἄννα πολύτεκνος, καὶ νῦν εὐφραινομένη, μητέρες χορεύσατε σὺν τῇ Μητρὶ τοῦ Θεοῦ, καὶ συναγάλλεσθε. Δόξα.

Τὸν Πατέρα δοξάσωμεν, τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, ἐν μονάδι Θεότητος, Τριάδα Παναγίαν, ἀχώριστον ἄκτιστον, καὶ συναΐδιον καὶ ὁμοούσιον. Καὶ νῦν, Θεοτοκίον.

Σὺ Θεὸν μόνη ἔτεκες, Παρθένε μετὰ τόκον· σὺ τὴν φύσιν ἐκαίνισας τῷ τόκῳ σου Μαρία· σὺ τὴν Εὔαν ἔλυσας, τῆς πρωτογόνου ἀρᾶς, Θεογεννῆτορ ἁγνή.

Καταβασία.

» Ἔκνοον πρόσταγμα τυράννου δυσσεβοῦς, λαοὺς ἐκλόνη» σε, πνέον ἀπειλῆς καὶ δυσφημίας θεοστυγοῦς· ὅμως τρεῖς » Παῖδας οὐκ ἐδειμάτωσε, θυμὸς θηριώδης, οὐ πῦρ βρόμεον· » ἀλλ' ἀντηχοῦντι δροσοβόλῳ πνεύματι, πυρὶ συνόντες ἔψαλ» λον· Ὁ ὑπερύμνητος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλο» γητὸς εἶ.

Ὠδὴ η'. Ὁ Εἱρμός.

» Ἐν τῇ καμίνῳ τῇ τῶν Παίδων, προαπεικόνισας ποτέ, τὴν » σὴν Μητέρα Κύριε· ὁ γὰρ τύπος τούτους πυρὸς ἐξείλετο, » ἀφλέκτως ἐμβατεύοντας· ἣν ὑμνοῦμεν ἐμφανισθεῖσαν, διὰ » σοῦ τοῖς πέρασι σήμερον, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς » αἰῶνας.

Τῆς πρὸς Θεὸν ἡμῶν καταλλαγῆς, ἡ προορισθεῖσα σκηνὴ τοῦ εἶναι νῦν ἀπάρχεται, τεξομένη Λόγον ἡμῖν παχύτητι, σαρκὸς ἐμφανιζόμενον· ὃν ὑμνοῦμεν οἱ ἐκ μὴ ὄντων, δι' αὐτοῦ τὸ εἶναι λαβόντες, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἡ τῆς στειρώσεως μεταβολή, τὴν κοσμικὴν τῶν ἀγαθῶν,

διέλυσε στείρωσιν, καὶ τρανῶς τὸ θαῦμα Χριστὸν ὑπέδειξε, βροτοῖς ἐπιδημήσαντα· ὃν ὑμνοῦμεν οἱ ἐκ μὴ ὄντων, δι' αὐτοῦ τὸ εἶναι λαβόντες, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος.

»Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ, ὁ τιθεὶς θαλάσ-
» σῃ ὅριον ψάμμον, καὶ συνέχων τὸ πᾶν, σὲ ὑμνεῖ ἥλιος, σὲ
» δοξάζει σελήνη, σοὶ προσφέρει ὕμνον πᾶσα κτίσις, τῷ Δη-
» μιουργῷ καὶ Κτίστῃ εἰς τοὺς αἰῶνας.

Ὁ ποιήσας παράδοξα τῇ στειρωθείσῃ γαστρί, ὁ ἀνοίξας Ἄννης ἄγονον μήτραν, καὶ καρπὸν αὐτῇ δούς, σὺ Θεὸς ἅγιος, σὺ Υἱὸς τῆς Παρθένου, σὺ ἐκ ταύτης σάρκα προσελάβου, τῆς ἀειθαλοῦς Παρθένου καὶ Θεοτόκου.

Ὁ σφραγίζων τὴν ἄβυσσον, καὶ ἐξανοίγων αὐτήν, ὁ ἀνάγων ὕδωρ ἐν ταῖς νεφέλαις, καὶ διδοὺς ὑετόν, σὺ ὁ δοὺς Κύριε, ῥίζης ἐκ τῆς ἀκάρπου ἐξανθῆσαι, Ἄννης τῆς ἁγίας, ἄχραντον καρπόν, τὴν ῥάβδον τὴν Θεοτόκον.

Σὺ ὁ λύσας τὰ ἄλυτα, τῆς ἀπαιδίας δεσμά· σὺ ὁ δοὺς τῇ στείρᾳ γόνιμον τόκον καὶ καρπὸν εὐκλεῆ, ἧς Υἱὸς γέγονας, καὶ βλαστὸς ἀνεφύης· ἣν Μητέρα ἔσχες κατὰ σάρκα, ἐν τῇ πρὸς ἡμᾶς οἰκτίρμον ἐπιδημίᾳ.

Γεωργὲ τῶν φρενῶν ἡμῶν, καὶ φυτουργὲ τῶν ψυχῶν, σὺ ὁ ἄκαρπον γῆν, εὔκαρπον δείξας· σὺ τὴν πάλαι ξηράν, γόνιμον εὔσταχυν, ἄρουραν καρποφόρον ἀπειργάσω, Ἄνναν τὴν ἁγίαν, ἄχραντον καρπὸν ἀνθῆσαι τὴν Θεοτόκον. Δόξα.

Ὦ Τριὰς ὑπερούσιε, μονὰς συνάναρχε, σὲ ὑμνεῖ καὶ τρέμει, πληθὺς Ἀγγέλων, οὐρανὸς καὶ ἡ γῆ, ἄβυσσοι φρίττουσιν, ἄνθρωποι εὐλογοῦσι, πῦρ δουλεύει, πάντα ὑπακούει, σοὶ Τριὰς ἁγία, φόβῳ τὰ ἐν τῇ κτίσει. Καὶ νῦν, Θεοτοκίον.

Ὢ καινότατον ἄκουσμα! Θεὸς Υἱὸς γυναικός, καὶ ἀσπόρου τόκου, ἄνανδρος Μήτηρ, καὶ Θεὸς τὸ τεχθέν· ὢ φρικτὸν θέαμα! ὢ συλλήψεως ξένης τῆς Παρθένου! ὢ ἀφράστου τόκου! ὄντως ὑπὲρ νοῦν τὰ πάντα καὶ θεωρίαν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Καταβασία.

»Εὐλογεῖτε Παῖδες, τῆς Τριάδος ἰσάριθμοι, δημιουργὸν
» Πατέρα Θεόν· ὑμνεῖτε τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ
» εἰς δρόσον μεταποιήσαντα· καὶ ὑπερυψοῦτε τὸ πᾶσι ζωὴν
» παρέχον, Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας. Ὠδὴ θ'.

Ἡ Τιμιωτέρα οὐ στιχολογεῖται.

Ὁ Εἱρμός.

«Ἡ τὸν πρὸ ἡλίου φωστῆρα, τὸν Θεὸν ἐξανατείλαντα, σω-
» ματικῶς ἡμῖν ἐπιδημήσαντα, ἐκ λαγόνων παρθενικῶν, ἀ-
» φράστως σωματώσασα, εὐλογημένη πάναγνε, σὲ Θεοτόκε
» μεγαλύνομεν.

Ὁ τοῖς ἀπειθοῦσι λαοῖς, ἐξ ἀκροτόμου βλύσας νάματα, τοῖς εὐπειθοῦσιν ἔθνεσι χαρίζεται, ἐκ λαγόνων στειρωτικῶν, καρπὸν εἰς εὐφροσύνην ἡμῖν, σὲ Θεομῆτορ ἄχραντε, ἣν ἐπαξίως μεγαλύνομεν.

Τὴν τῆς ἀποτόμου ἀρχαίας, ἀναιρέτην ἀποφάσεως, καὶ τῆς Προμήτορος τὴν ἐπανόρθωσιν, τὴν τοῦ γένους τῆς πρὸς Θεὸν αἰτίαν οἰκειώσεως, τὴν πρὸς τὸν Κτίστην γέφυραν, σὲ Θεοτόκε μεγαλύνομεν. Εἱρμὸς ἄλλος.

»Ἀλλότριον τῶν μητέρων ἡ παρθενία, καὶ ξένον ταῖς παρ-
» θένοις ἡ παιδοποιΐα· ἐπὶ σοὶ Θεοτόκε ἀμφότερα ᾠκονομήθη.
» Διό σε πᾶσαι αἱ φυλαὶ τῆς γῆς, ἀπαύστως μακαρίζομεν.

Ἐπάξιον Θεομῆτορ τῆς σῆς ἁγνείας, τὸν τόκον ἐκληρώσω δι' ἐπαγγελίας· τῇ ποτὲ γὰρ ἀκάρπῳ, θεόβλαστος καρπὸς ἐδόθης· διό σε πᾶσαι αἱ φυλαὶ τῆς γῆς ἀπαύστως μακαρίζομεν.

Πεπλήρωται τοῦ βοῶντος ἡ Προφητεία· φησὶ γάρ· Ἀναστήσω σκηνὴν τὴν πεπτωκυῖαν, τοῦ ἱεροῦ Δαυΐδ, ἐν σοὶ ἄχραντε προτυπωθεῖσαν, δι' ἧς ὁ σύμπας τῶν ἀνθρώπων χοῦς, εἰς σῶμα ἀνεπλάσθη Θεῷ.

Τὰ σπάργανα προσκυνοῦμέν σου Θεοτόκε, δοξάζομεν τὸν δόντα, καρπὸν τῇ πρώην στείρᾳ, καὶ ἀνοίξαντα μήτραν τὴν

ἄγονον ἐκ παραδόξου· ποιεῖ γὰρ πάντα ὅσα βούλεται, Θεὸς ὢν παντεξούσιος.

Ἐβλάστησας νυμφοτόκε Ἄννα θεόφρον, ἐκ μήτρας παρ' ἐλπίδα, καὶ ἐξ ἐπαγγελίας, παρθενόφυτον ἄνθος, θεόβλαστον ἁγνείας κάλλος· διό σε πάντες μακαρίζομεν, ὡς ῥίζαν τῆς ζωῆς ἡμῶν. Δόξα.

Ἀλλότριον τοῖς ἀνόμοις ἐστὶ δοξάζειν, τὴν ἄναρχον Τριάδα, Πατέρα καὶ Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν ἄκτιστον παγκρατορίαν, δι' ἧς ὁ σύμπας κόσμος ἥδρασται, τῷ νεύματι τοῦ κράτους αὐτῆς.

Καὶ νῦν, Θεοτοκίον.

Ἐχώρησας ἐν γαστρί σου Παρθενομῆτορ, τὸν ἕνα τῆς Τριάδος Χριστὸν τὸν Βασιλέα, ὃν ὑμνεῖ πᾶσα κτίσις, καὶ τρέμουσιν οἱ ἄνω θρόνοι· αὐτὸν δυσώπει πανσεβάσμιε, σωθῆναι τὰς ψυχὰς ἡμῶν. Καταβασία.

» Μυστικὸς εἶ Θεοτόκε Παράδεισος, ἀγεωργήτως βλαστή-
» σασα Χριστόν, ὑφ' οὗ τὸ τοῦ Σταυροῦ, ζωηφόρον ἐν γῇ πε-
» φυτούργηται δένδρον· δι' οὗ νῦν ὑψουμένου, προσκυνοῦντες
» αὐτόν, σὲ μεγαλύνομεν. Ἕτερα.

« Ὁ διὰ βρώσεως τοῦ ξύλου, τῷ γένει προσγενόμενος θά-
» νατος, διὰ Σταυροῦ κατήργηται σήμερον· τῆς γὰρ Προ-
» μήτορος ἡ παγγενὴς κατάρα διαλέλυται, τῷ βλαστῷ τῆς
» ἁγνῆς Θεομήτορος· ἣν πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν με-
» γαλύνουσι.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἀγάλλονται τὰ πέρατα, τῆς οἰκουμένης σήμερον, ἐν τῇ γεννήσει σου Κόρη, Θεοκυῆτορ Μαρία, καὶ ἀπειρόγαμε νύμφη· ἐν ᾗ καὶ τῶν φυσάντων σε, τὸ λυπηρὸν διέλυσας, τῆς ἀτεκνίας ὄνειδος, καὶ τῆς Προμήτορος Εὔας, τὴν ἐν τῷ τίκτειν κατάραν. Ἕτερον, ὅμοιον.

Ἀδὰμ ἀνακαινίσθητι, καὶ Εὔα μεγαλύνθητι· Προφῆται σὺν Ἀποστόλοις, χορεύσατε καὶ Δικαίοις· κοινὴ χαρὰ ἐν τῷ



κόσμῳ, Ἀγγέλων τε καὶ ἀνθρώπων, ἐκ τῶν Δικαίων σήμερον, Ἰωακεὶμ καὶ τῆς Ἄννης, γεννᾶται ἡ Θεοτόκος.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχους δ'. καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια γ'. δευτεροῦντες τὸ ά.

Ἦχος ά. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος· ἡ πηγὴ τῆς ζωῆς, ἐκ τῆς στείρας τίκτεται· ἡ χάρις καρπογονεῖν, λαμπρῶς ἀπάρχεται. Εὐφραίνου Ἰωακείμ, τῆς Θεοτόκου γεννήτωρ γενόμενος· οὐκ ἔστιν ἄλλος ὡς σύ, τῶν γηγενῶν γεννητόρων θεόληπτε· ἡ γὰρ θεοδόχος Κόρη, τοῦ Θεοῦ τὸ σκήνωμα, τὸ πανάγιον ὄρος, δια σοῦ ἡμῖν δεδώρηται. Ὅμοιον.

Ὢ τοῦ παραδόξου θαύματος· ὁ ἐκ στείρας καρπός, ἀναλάμψας νεύματι, τοῦ πάντων Δημιουργοῦ, τοῦ παντοκράτορος, εὐτόνως τὴν κοσμικήν, τῶν ἀγαθῶν διαλέλυκε στείρωσιν. Μητέρες σὺν τῇ Μητρί, τῆς Θεοτόκου χορεύσατε κράζουσαι· Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ κόσμῳ διὰ σοῦ τὸ μέγα ἔλεος. Ὅμοιον.

Στήλη σωφροσύνης ἔμψυχος, καὶ λαμπρὸν δοχεῖον, ἀποστίλβον χάριτι, ἡ Ἄννα ἡ εὐκλεής, φανεῖσα τέτοκε, τὴν πρόβολον ἀληθῶς, τῆς παρθενίας τὸ θεῖον ἀπάνθισμα, τὴν πάσαις παρθενικαῖς, καὶ παρθενίας ποθούσαις τὸ χάρισμα, τὸ τῆς παρθενίας κάλλος, ἐμφανῶς βραβεύουσαν, καὶ παρέχουσαν πᾶσι, τοῖς πιστοῖς τὸ μέγα ἔλεος. Δόξα, Ἦχος πλ. β'.

Αὕτη ἡμέρα Κυρίου, ἀγαλλιᾶσθε λαοί· ἰδοὺ γὰρ τοῦ φωτὸς ὁ νυμφών, καὶ ἡ βίβλος τοῦ λόγου τῆς ζωῆς, ἐκ γαστρὸς προελήλυθε· καὶ ἡ κατὰ ἀνατολὰς πύλη ἀποκυηθεῖσα, προσμένει τὴν εἴσοδον τοῦ Ἱερέως τοῦ Μεγάλου· μόνη, καὶ μόνον εἰσάγουσα Χριστὸν εἰς τὴν οἰκουμένην, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν. Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἐκ τῶν Κανόνων, ᾠδὴ γ'. καὶ ς'. Κοινωνικόν. Ποτήριον σωτηρίου λήψομαι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ